κεχρημένους οὐδεὶς πώποτ' ἐπιτιμήσεως ἀξίους ἡγήσατο οὐδ' ἀπεφήνατο δεῖν αὐτοὺς τῷ θανάτῳ διὰ τὴν ὕβριν ὥσπερ τινὶ κολαστῇ παραδίδοσθαι. πλὴν ὥσπερ οὐκ ἀγαθὸν αὐτοῖς εἴποιμ' ἂν εἶναι τὸν θάνατον οὐδενὸς ὄντος, ὃ παραβαίνοντες εἰκότως ἂν ὑπ' αὐτοῦ βελτίους γένοιντο κολαζόμενοι, οὕτως οὐδὲ ζημίας αὐτοῖς αἴτιον τοῦτον εἶναί φημι τῇ τελευτῇ τὰς ἐφειμένας ἐκείνας ἡδονὰς ἀναιροῦντα. αὗται γὰρ τοῖς ἀνθρώποις οὐχ ὡς ἴδιον αὐτῶν ἀγαθὸν οὐδ' αὐτῶν εἵνεκα παρὰ τῆς φύσεως τούτοις ἐγκατῳκίσθησαν, ἵν' ἀεὶ τούτων ὥσπερ τέλους ἐν ἑαυτοῖς ἀπολαύοιεν, ἀλλὰ τῶν γενησομένων προνοουμένη ταύτας ἐν τοῖς γονεῦσιν ἐμηχανήσατο, ἵνα ῥᾷον τοῖς ἀνθρώποις τὰ περὶ τὴν διαδοχὴν τῶν τέκνων ἀνύηται τῆς ἡδονῆς λήθην ἐμποιούσης τῶν παρεπομένων δυσχερῶν τῇ γενέσει· ὥσπερ καὶ τοὺς ἰατροὺς ὁρῶμεν ἐνίοτε σοφιζομένους τοὺς κάμνοντας καὶ | 42 γλυκέα τινὰ τοῖς ἀηδεστάτοις παραμιγνύντας, ἵνα τῇ περὶ τὰ ἡδέα λιχνείᾳ ῥᾷον καὶ τὰ θεραπεύοντα δέξωνται· ὁρῶμεν δὲ καὶ τοὺς ὑπιόντας τὰ ἄχθη ᾄδοντας, ὅταν πιέζωνται, καὶ ταῖς ᾠδαῖς κουφότερον ἑαυτοῖς οἰομένους τὸ φορτίον ποιεῖν. εἰ τοίνυν ἑτέρων εἵνεκα καὶ μέχρι τινὸς τοῖς ἀνθρώποις τὸ γένος τοῦτο τῶν ἡδονῶν συγκεχώρηται, δῆλον ὡς τῆς λειτουργίας παυσαμένης οὐδὲν οὐδ' αὐτοὶ ζημιώσονται ἐν τοῖς οἰκείοις ἀγαθοῖς καταλιμπανόμενοι, ὥσπερ οὐδὲ τοὺς ἀχθοφοροῦντας ἐκείνους εἴποι τις ἂν ζημιοῦσθαι τοῦ τε ἄχθους ἅμα καὶ τῆς ᾠδῆς ἀπαλλαττομένους. μᾶλλον μὲν οὖν καὶ χάριτας ἂν εἶεν δίκαιοι τούτου γε ἕνεκα ὁμολογεῖν τῷ θανάτῳ οὐκ ἐῶντι τούτους ὑπὲρ ἄλλων κόπτεσθαι εἴδωλον ἡδονῆς αὐτοὺς καρπουμένους, ἀλλ' ἱστάντι τὴν ἀπάτην καὶ πρὸς ἑαυτοὺς ἐπι-

---

3 Plat. Leg. IX 863 A: κολαστὴν τῶν ἁμαρτημάτων θάνατον... 12 cfr. p. 5 et 6 27 Reip. IX 587 D et 586 B: εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς 587 A: τὰς ἡδονὰς τὰς ἀληθεστάτας καρποῦσθαι. Reip. VIII 548 B: ἡδονὰς καρπούμενοι

---

1 πώποτε O ‖ οὐδὲ O 2 ὕυριν V 4 οὐδὲν NOM, in marg. corr. s 8 ουδὲ N 9 ἵν' ἀεὶ AOQ ἵνα ἀεὶ N ἵνα ει M ἵνα εἰ s ἵνα δὴ wk 13 ἀνίηται s 16 λιχνίᾳ Bs 17 δέξονται B corr. s 21 λειτουργείας B

στρέφοντι τοὺς ἀνθρώπους. ὃ καὶ Σοφοκλέα τὸν ποιητὴν λέγεται πρὸς τὸν Κέφαλον ἀποκρίνασθαι ἐρόμενον ὥς δή τι καλόν, εἰ οἷός τε ἐστὶν ἐν γήρᾳ μίγνυσθαι γυναικί· εὐφήμει, εἶπεν ἐκεῖνος, νοῦν ἔχων, ὦ ἄνθρωπε, πάλαι γὰρ τούτων ὥσπερ ἀγρίων ἀπήλλαγμαι δεσποτῶν, τὰς ἡδονὰς τοῦτο λέγων, ὑφ' ὧν τὸ τῶν ἀνθρώπων κηλούμενον γένος ὥσπερ κακῷ δεσπότῃ χαίρει παραμένον αὐταῖς.

VII. Τοὺς μὲν οὖν διὰ τὰς τοῦ σώματος ἡδονάς, εἴ τινες | ἂν εἶεν αὗται, τὸν θάνατον φρίττοντας καὶ κακῶν 43 ἔσχατον οἰομένους αὐτὸν τοῖς ἀνθρώποις, τῶν παιγνίων τούτων μᾶλλον δὲ τῆς περὶ ταύτας μανίας καὶ ἀσχημοσύνης αὐτοὺς ἀπαλλάττοντα, οἶμαι τοῖς ὀλίγοις τούτοις σωφρονισθέντας καὶ τὴν παιδικὴν ἀπορρίψαντας ἔννοιαν τὴν σώφρονα καὶ ἀνδρικὴν ἀντιλήψεσθαι καὶ μὴ πρὸς τὸ χρεὼν ἀηδῶς τῶν γε ἡδονῶν ἕνεκα διακεῖσθαι.

Τοῖς δὲ διὰ τὴν τοῦ εἶναι κοινοτάτην ἐπιθυμίαν καὶ τὸ φύσει πᾶσιν ἐγκεῖσθαι τῆς ζωῆς ταύτης ἔφεσιν τὴν τελευτὴν δυσχεραίνουσιν ὡς ἂν τῶν ἐν ἡμῖν τὸ ἄριστον καὶ θειότατον ἀναιροῦσαν, ὃ πᾶσι τοῖς ὁπωσοῦν οὖσι καὶ τὴν φύσιν ὁρῶμεν φιλονεικοῦσαν τηρεῖν, ἐκεῖνο ἄν τις εἴποι καὶ ἴσως κατὰ καιρόν· τοῦ μὲν μὴ πρὸς τὰς ἡδονὰς καὶ τὴν

3 sq. Plat. Reip. I 329 A sq. (Cephalus): καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· πῶς, ἔφη, ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τ' εἶ γυναικὶ συγγίγνεσθαι; καὶ ὅς· εὐφήμει, ἔφη, ὦ ἄνθρωπε· ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών . . . . . δεσποτῶν ἀπηλλάχθαι. idem dictum praeter alios laudant Athen. Deipn. XXII c. 2 p. 510 et Cic. Cat. mai. 14 6 ὑφ' ἡδονῆς . . . κηλούμενοι γὰρ . . παρὰ ταύτῃ μένουσι Dio Chrys. orat. XVI 1 (pag. 241 ed. de Arnim), cfr. Plat. Reip. III 413 C: ὑφ' ἡδονῆς κηληθέντες

3 οἷον NQM, in marg. οἷός τε s, inde wk ‖ εὐφήμι codices εὐφήμει e ex corr. s 6 καλούμενον NM, corr. s et O, inde wk 7 παραμένων A 9 κακὸν Be 11 ταῦτα Be 12 ὀλίγοις om. Be 14 καὶ ἀνδρικὴν post παιδικὴν (13) inseruit N 21 τοῦ μὲν omnes codices recte, cum gen. pendeat ab χάρις (14, 6) et verbis ταύτης τοίνυν τῆς γνώμης suscipiatur. δεῖ μὲν et post βλαβερὰ (14, 5 distinguunt e secundum coniecturam s

ἐκεῖθεν ἀπάτην ὁρῶσι περὶ τῶν πραγμάτων ψηφίζεσθαι, ἀλλὰ τὸ θεῖον καὶ κατὰ φύσιν ἀγαθὸν τῶν ἐν ἡμῖν ἀγαθῶν ποιεῖσθαι τεκμήριον καὶ τὰ μὲν ἐκείνῳ συμβαίνοντα καὶ ἡμῖν νομίζειν λυσιτελεῖν, ὅσα δ' ἐκείνῳ μάχεται, ταῦτα τῆς τοῦ κακοῦ μοίρας οἴεσθαι καὶ προσέθ' ἡμῖν βλαβερά, ταύτης τοίνυν τῆς γνώμης πολλὴ χάρις ἡμῖν· ἀτεχνῶς γὰρ ἡ δόξα σωφρονούντων ἀνδρῶν καὶ πρὸς ὃ δεῖ πάντα ἀναφερόντων.
44 ἀλλ' εἰ μὲν ἢ ψυχῆς ἄνευ | ἐζῶμεν καὶ σῶμα μόνον ἦν τοῦθ' ὅπερ ἐσμέν, οὗ φθειρομένου οὐδαμῇ οὐδαμῶς ἂν ἦν, ὃ πρότερον ἦμεν, οὐδέ τις ἡμῶν μετέπειτ' ἐλπὶς ἢ λόγος ἐλείπετο, ἢ καὶ ψυχῇ χρώμενοι πρὸς τὸ ζῆν οὐκ ἄφθαρτον παρὰ τοῦ δημιουργοῦ ταύτην εἴχομεν καὶ δυναμένην καθ' αὑτὴν παραμένειν, ἀλλ' οἵαν μόνον καὶ συνεῖναι τῷ σώματι καὶ οἰχομένου συνδιαλύεσθαι, οὐκ ἂν παντάπασιν ἄλογον ἦν δεδιέναι ἐν τῷ παντὶ μέλλοντας κινδυνεύειν καὶ τοῦ ὄντος ὥσπερ σχεδίας τινὸς ἀποπίπτοντας ἐπὶ τὸ τοῦ μὴ ὄντος πέλαγος καὶ τὸ χάος ἐξολισθαίνειν. νῦν δὲ τίς οὐκ οἶδεν, ὅτι καὶ ψυχὴν ἔχομεν καὶ τῆς τῶν ἀλόγων κρείττω πολλῷ ἅτε λόγῳ κυβερνωμένην, δι' ὃν καὶ κρατεῖν τοῦ σώματος δύναται καὶ πρὸς τὸ δοκοῦν τὰ τούτου διατιθέναι, καὶ προσέτ' ἀθάνατον καὶ ἀνώλεθρον, καὶ εἶναι καὶ μένειν ἐφ' ἑαυτῆς μέχρι παντὸς δυναμένην, οὐδεμίαν οἰχομένου τοῦ σώματος αὐτὴν ὑπομένουσαν βλάβην; τοιαύτης τοίνυν αὐτῇ τῆς φύσεως οὔσης πῶς οὐκ εὔηθες ὑπὲρ αὐτῆς δεδιέναι, μὴ λάθῃ συνδιαφθαρεῖσα τῷ σώματι καὶ θάνατον τὸ ἀθάνατον ὑπομείνῃ καὶ μηδαμοῦ τὸ ἄφθαρτον ᾖ;

---

16 cf. Phaed. 85D: *ἐπὶ τούτου ὀχούμενον ὥσπερ ἐπὶ σχεδίας κινδυνεύοντα διαπλεῦσαι τὸν βίον*    21 Plat. Phaed. 95C: *τὴν ψυχὴν ἀνώλεθρόν τε καὶ ἀθάνατον οὖσαν*

---

1 *ὁρῶντας* in marg. s inde wk    2 *ἀγαθὸν* pro *ἀγαθῶν* NMs corr. O    4 *λυσιτελεῖν νομίζειν* Me ‖ *δὲ ἐκείνῳ* NMe    6 *ὑμῖν* in ras. P    8 *ἀλλὰ* N ‖ *ἐζῶμεν τὸ σῶμα* B in marg. *καὶ* s, in textu *καὶ τὸ* wk    10 *ἡμῖν* e ex coniectura s    13 *μόνον συνεῖναι* (omisso *καὶ*) Be    15 *μέλλοντας* omis. O    16 *ὡς* Be    19 *κυυερνωμένην* V    25 *διαφθαρεῖσα* Bk, *συνδιαφθαρεῖσα* recte marg. adscr. s, inde wk, cf. p. 27, 22

VIII. Ὅτι δὲ τὰ περὶ αὐτῆς λεγόμενα ἀληθῆ καὶ τῆς αἰωνίου καὶ μενούσης φύσεώς | 45 ἐστιν ἡ ψυχὴ καὶ διὰ ταύτην τῶν ἐν κόσμῳ ζώων ἄνθρωπος θειότατόν τε καὶ μονιμώτατον, γνοίη τις ἂν ὧδὶ ὀλίγοις τεκμηρίοις πρὸς τὸν λόγον χρησάμενος.

Φαμὲν τὸν ἄνθρωπον ζῷον εἶναι καὶ ζῆν. τοῦ μὲν οὖν ζῆν σημεῖον τὸ μὴ παρ᾽ ἄλλων ἔξωθεν ὠθούμενον ἢ ἐπειγόμενον μεταβαίνειν, ἀλλ᾽ ἔνδοθεν εἶναι τούτῳ τὴν κίνησιν, ἐφ᾽ ὅ,τι ὁρμήσειε. πάντες γὰρ τὰ τοῦτον τὸν τρόπον κινούμενα ζῆν ἀποφαίνονται, τούτου δ᾽ οὐκ ἄλλο τι πλὴν τῆς ψυχῆς αἴτιον τῷ σώματι γίνεται˙ ψυχῆς γὰρ παρουσίᾳ πάντα τὰ κινούμενα καὶ ζῶντα κινεῖται καὶ ζῇ. καὶ μὴν τὸ ἅπτεσθαι καὶ ὁρᾶν καὶ ἀκούειν τοῦ καὶ ζῷον εἶναι φανερὸς ἔλεγχος γίνεται˙ αἰσθήσει γὰρ τὰ ζῷα πάντες ὁρίζονται, καὶ ὅσον μᾶλλον τὸ κατ᾽ αὐτὴν πλεονάζει ἢ βέλτιον καὶ ἀκριβέστατον πρὸς αὐτὴν παρεσκεύασται, τοσοῦτον ἐν τῇ τῶν ζώων τάξει καὶ τελειοτέρας χώρας τυγχάνει. ἄνθρωπος δὲ πάσαις μὲν αἰσθήσεσι χρῆται˙ ὧν δ᾽ ἕνεκα αἴσθησις μεμηχάνηται, πάντων ἀντιλαμβάνεται, ὥστε τούτων γε ἕνεκα τῶν λοιπῶν ζώων μηδενὸς ἐλαττοῦσθαι. ἡ δ᾽ ὑπεροχή, ὅτι καὶ λόγον ἡ φύσις αὐτῷ μόνῳ δέδωκε τῶν αἰσθήσεων ἡγεμόνα, οὐ ταύταις δὲ μόνον ἐκδοῦσα τὸν ἄνθρωπον καὶ ὡς ἂν αὗται τοῦτον ἄγοιεν ἄγεσθαι συγχωρήσασα, | 46 ἀλλὰ καὶ τῷ τοῦ λόγου κάλλει κοσμήσασα καὶ τοῦτον αὐτοῦ τῷ βίῳ ὥσπερ τινὰ νομέα καὶ διδάσκαλον ἐπιστήσασα

---

7 Plat. Phaedr. 245 E: πᾶν γὰρ σῶμα, ᾧ μὲν ἔξωθεν τὸ κινεῖσθαι, ἄψυχον . . . . . ᾧ δὲ ἔνδοθεν αὐτῷ ἐξ αὑτοῦ ἔμψυχον
11 Leg. 896 A: ψυχὴ . . . ἀρχὴ κινήσεως Phaedr. 245 C: μόνον δὴ τὸ αὑτὸ κινοῦν . . . καὶ τοῖς ἄλλοις, ὅσα κινεῖται, τοῦτο πηγὴ καὶ ἀρχὴ κινήσεως κτλ. 22 Leg. XII 963 A: νοῦν . . ἡγεμόνα Gorg. 527 E: ὥσπερ οὖν ἡγεμόνι τῷ λόγῳ χρησώμεθα

---

1 ἀληθῆ omis. B, post δὲ inseruit s, inde wk 2 φύσεως omis. V 3 inter ἄνθρωπος et θειότατον inser. μόνον A 4 παρὰ pro πρὸς k 7 παρὰ ἄλλων NMe 8 καταβαίνειν N μεταναίνειν V
15 πλεονάζειν N 16 ἀκριβέστερον A ‖ παρεσκεύασται AQ, παρασκεύασται NOMe 18 ὧν δὲ NMe 22 δὲ post ταύταις omis. V 23 verba a καὶ usque ἀλλὰ καὶ (24) omis. N

καὶ τούτῳ τῶν συννόμων αὐτὸν διαστήσασα καὶ ὥσπερ τι σύμβολον τοῦ γένους αὐτὸν ἀφορίσασα· δι' ὃν μόνον τῶν ζώων ἄνθρωπος θεόν τε οἶδε καὶ σέβει ἱερά τε τούτῳ ἱδρύεται καὶ θύει καὶ εὔχεται καὶ παρ' αὐτοῦ τἀγαθὰ ἑαυτῷ τε καὶ τοῖς ἄλλοις αἰτεῖ. καὶ ἀλήθειαν δὲ μόνος τῶν ἐπὶ γῆς οὗτος ἐπίσταται καὶ περὶ αὐτὴν πραγματεύεται καὶ ἀρετὴν ἀσκεῖ καὶ νόμους τέθεικε καὶ πολιτείας κατεστήσατο, ἀγαθοῖς τε ἔργοις ἀμοιβὰς καὶ πονηροῖς μέτρα κολάσεως ὥρισε, τέχνας τε ἐξεῦρεν οὐ πρὸς χρείαν μᾶλλον ἢ φιλοτιμίαν ἐξησκημένας καὶ ταύτας φέρων εἰς τὸ κοινὸν κατέθετο διὰ πάντων πρὸς τὸ θεῖον ἀποβλέπων παράδειγμα, πρὸς ὃ καὶ δεδημιούργηται καὶ πρὸς ἐκεῖνο τὰ ἑαυτοῦ πάντα ἁρμόζων. ὧν οὐδενὸς τὰ λοιπὰ ζῷα μετέχει, ὅτι μηδὲ λόγου μετέχει, ᾧ ταῦτα καὶ εὑρίσκεται καὶ τελειοῦται καὶ λυσιτελεῖ τοῖς χρωμένοις. ταῦτα γὰρ πρὸς τὴν χρείαν μόνον ὁρᾷ καὶ ὅσον πρός τε τροφὴν αὐτοῖς καὶ γένεσιν συντελεῖ, οὐδὲν δὲ περαιτέρω περιεργάζεται· κἂν τούτοις δὲ τῆς ἀνάγκης γινόμενα μόνης
47 φιλοτιμίαν | οὐδεμίαν εἰσφέρεται ὥσπερ τακτούς τινας τῆς φύσεως ὅρους οὐχ ὑπερβαίνειν τολμῶντα, ὥστ' ἐφ' ἑκάστῳ τῶν ὁμογενῶν τὰ αὐτὰ ἂν ἴδῃς καὶ οἰκιῶν σχήματα καὶ τροφῶν νόμιμα καὶ ὕπνων ἐπιτηδεύματα καὶ θεραπείας ἐκγόνων καὶ πρὸς ἀποφυγὰς ἢ καὶ μάχας περιεργίας.

IX. *Τούτων γὰρ πάντων εἷς πᾶσι παρὰ τῆς φύσεως* ἐπίκειται νόμος, ὃν οὐκ ἔστιν αὐτοῖς παρελθεῖν ὡς ἂν φύσει

---

3 Protag. 322 A: ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν ζώων μόνον θεοὺς ἐνόμισεν καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι 7 Axioch. 370 B: λόγους περὶ τῆς ἀθανασίας . . . καταστήσασθαι δὲ πολιτείας 11 Tim. 31 A: εἴπερ κατὰ τὸ παράδειγμα (sc. θεὸν) δεδημιουργημένος ἔσται

---

1 verba inter καὶ et ὥσπερ omis. N ‖ διασθήσασα, δι' ὅν, (quae intersunt, omis.) Q 1—2 τινα σύμβουλον ex marg. s in wk transiit 3 τε post θεὸν omis. V ‖ εἶδε Bsw 5 τε omis. Be 5—6 ἐπὶ τῆς γῆς Be 7 τέθηκε Bsw 12 καὶ omis. V ‖ οὐδὲν Be 16 περαίτερον N περαιτέρων O παραιτέρω A 17 fortasse scr. γενόμενα ‖ καὶ τούτοις δὲ OM, in marg. ταῦτα, ἢ ταύτης s καὶ ταύτης τῆς wk 19 ὥστε N 23 πᾶσιν N

*μόνῃ καὶ τῇ κατ᾽ αἴσθησιν ζωῇ περικλειμένοις. ἄνθρωπον δὲ ὁ λόγος τοῖς ἀραχνίοις τούτοις ἐνδεδεμένον οὐκ ἠνέσχετο ζῆν, τούτων δὲ λύσας ἐλεύθερον αὐτῷ δέδωκε βίον οὐ μόνον δεσπότου παντὸς ἀπαλλάξας, ἀλλὰ κἀν τοῖς ἔργοις πᾶσαν ἀφελόμενος τὴν ἀνάγκην καὶ τῇ τῆς φύσεως οὐ περιγράψας στενοχωρίᾳ, οὐ πρὸς τὸ εἶναι μόνον τὰ αὐτοῦ τάττειν ἐάσας, ἀλλὰ πολλῷ πλέον καὶ τοῦ εὖ εἶναι διδάξας λόγον ποιεῖσθαι. ὅθεν οὐχ ὑετῶν μόνον καὶ πνίγους ἀλεξητήριον τὴν οἰκίαν ἀνίστησιν οὐδ᾽ ἐφ᾽ ἑνὸς σχήματος ταύτην ἱδρύεται οὐδ᾽ ἀπὸ τῶν αὐτῶν ταύτην συμπήγνυσιν, ὅπερ ἡ τῶν ζῴων πάσχει πενία· ἀλλὰ πάσας μὲν οἰκιῶν ἰδέας ἐπινοεῖ, πάσαις δὲ ἀναλογίαις συνδεῖ καὶ τὴν ὕλην οὐκ αὐτόθεν μόνον πορίζεται, ἀλλὰ καὶ τὴν ὑπερορίαν λιθοτομεῖ Θετταλῇ ἢ πορφυρίτιδι λίθῳ τοὺς τοίχους ἀμφιεννὺς | καὶ* 48 *τοῖς τῶν λειμώνων ἄνθεσι τούτους γράφων καὶ τοὔδαφος ποικίλλων καὶ τῷ τέγει χρυσὸν περιτήκων καὶ ὅλως τῆς μὲν χρείας καταφρονῶν, πρὸς πολυτέλειαν δὲ μόνον ὁρῶν. τὸ δ᾽ αὐτὸ μηχανᾶται καὶ περὶ τὴν ἀμπεχόνην οὐ πρὸς τὰς τῶν ὡρῶν μόνον ὑπερβολὰς τοῖς ἱματίοις φραττόμενος — ὀλίγης γὰρ ἂν ἔδει πρὸς τοῦτο φροντίδος, νῦν δ᾽ ἐκεῖνο μὲν τῇ φύσει καὶ τοῖς ζῴοις ἀπέρριψεν, ὁ δὲ λόγος πολλὴν κἀν τοῖς ἱματίοις ἐξεῦρεν αὐτῷ τὴν ἁβρότητα, καὶ γὰρ καὶ ὕλης διαφορὰν ἐζήτησε καὶ ἄνθος ἐξεῦρε καὶ χρυσὸν συνύφηνε καὶ*

---

12. 19. 22. pag. sq. 8 Greg. Palam. Pros. Mign. CL 1351 B: *οὐδὲ περιβλήματα τὰ πρὸς θάλπος καὶ ψῦχος συμμέτρως ἔχοντα μόνον ἐπιζητεῖ, ἀλλὰ τὰ ἐξ ὕλης οὐκ εὐπορίστου καὶ τέχνῃ περιττῇ . . ἐκπεπονημένα καὶ ἁβρότερον . . .*

---

1 *περικλειμένοις* NMQ, *περικειμένοις* O, *περικλειομένοις* A me iudice falso, cfr. *ἐνδεδεμένον* (2)  4 *ἀλλὰ καὶ* N  9 *οὐδὲ* O  13 *καὶ* omis. Be  15 *ἄνθεσιν τους γράφων* M in marg. *ζωγραφῶν* s, inde wk  16 sic A, *καὶ τοὔδαφος ποι κίλων καὶ τοὔδαφος χρυσὸν περιτήκων* Bs, posterius *τοὔδαφος* omis. wk  17 omis. *δὲ* et quae intersunt inter *ὁρῶν* et *μόνον* (19) V  18 *ἀμπελόνην* in textu, sed in marg. corr. s  19 *ὀρῶν* mendose s ‖ *μεταβολὰς* coni. k  23 *ἐζήτησεν* N, *συνύφηνε* recte A, *συνέφηνε* Be



BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA

παντοδαπῶν ζώων τε καὶ φυτῶν ἰδέας ἐν τούτοις διέγραψεν καὶ ἱματίων ἰδέας ἄλλας ἄλλοις ἀπένειμεν, ὡς ἂν ἕκαστος γένους ἢ ἀξίας ἢ ἡλικίας ἔχων τυγχάνῃ· τὴν δ' αὐτὴν ἂν ἴδοι τις πολυτέλειαν ἐπί τε στρώσεων καὶ ὑποδέσεων καὶ ὀχημάτων καὶ σκευῶν καὶ τῆς ἄλλης τῶν ἀνθρώπων ἐν τῷ βίῳ κατασκευῆς, ὡς ἐν οὐδενὶ τῶν αὐτοῦ πραγμάτων ἄνθρωπος τοῖς αὐτοῖς, οἷς καὶ οἱ ἕτεροι, χαίρει, ἀλλὰ πᾶσι περιττήν τινα ἐξαλλαγὴν καὶ φιλοτιμίαν ἐπινοεῖ ἀπεναντίας τῇ τῶν λοιπῶν ζώων φύσει, ἃ μικρὰ μὲν ἐργάζεται, μικροῖς δὲ ἀρκεῖται, ἕνα δὲ βίου πόρον παρὰ τῆς φύσεως ἐδιδάχθη.

49 X. Ἀλλὰ ταῦτα μὲν εἴποι τις ἂν καὶ ἀνάγκης ἔχειν τι | παραμεμιγμένον· δεῖν γὰρ τοῖς μέλλουσι βιώσεσθαι καὶ τροφῆς καὶ οἰκίας καὶ ἱματίων, ὧν ἡ φύσις φροντίδα καὶ τῶν ζώων ἐνίοις ἐνέθηκεν, εἰ καὶ τὴν τούτων κτῆσιν ἀνθρώποις πολυτελεστέραν καὶ διαρκεστέραν ἐμηχανήσατο. ἀλλ' ὑπὸ ποίας τῆς κατὰ τὸ ζῆν ἀνάγκης ἀνθρώπῳ φιλοσοφίας ἐμέλησε; τί δὲ πρὸς τὰ ἄλφιτα ἀριθμητικὴ καὶ λογιστικὴ καὶ γεωμετρία; ἢ τί χεῖρον ἂν ἔσχεν ἐν τοῖς ἀναγκαίοις ὁ βίος, εἰ μηδεμία ῥητορικῆς ἢ διαλεκτικῆς ἄσκησις ἦν; ἢ τί πρὸς ψύχους ἢ καύματος ἀπαλλαγὴν τὸ πρὸς κάλλος λέγειν συμβάλλεται; ἃ μετὰ τὸν ἀναγκαῖον πορισμὸν τοῖς ἀνθρώποις ἐξευρεθέντα δείκνυσι φανερῶς, ὡς οὐ τῆς σωματικῆς μόνον ἀνάγκης ἢ ἡδονῆς, ἀλλά τινος περαιτέρω καὶ μείζονος ἄνθρωπος στοχάζεσθαι πέφυκεν. ὃ δὲ μάλιστα τὸ τῆς ἀνθρωπίνης φύσεως πρὸς τἆλλα κράτος ἐνδείκνυται, ἡ τῶν ὑποδεεστέρων ἐστὶ πρόνοια καὶ τὸ τῆς τῶν ὁμογενῶν ὠφελείας λόγον ποιεῖσθαι. τοῖς μὲν γὰρ ἄλλοις ἀρκεῖ, ἂν αὐτὰ μὴ πεινᾷ μηδὲ ῥιγοῖ μηδὲ πρὸς τὴν γονὴν ἀσθενῇ, τῶν δὲ ὁμοίων οὐδεμία τούτοις φροντίς. οὔκουν πόλιν ἂν εὕροις

---

1 διέγραψε deleto ν M, ex quo e 3 τυγχάνοι superscripto η P 4 ἴδοι τις A ἴδοις Be 6 γραμμάτων pro πραγμάτων M, quod recte corr. s 9 μεν omis. V 12 παραμιγμένον VQ ‖ δεῖ Be 17 ἐμέλησεν N 22 δείκνυσιν N 23 παραιτέρω N 25 τὰ ἄλλα N 26 τῶν omis. B, recte add. s 28 ἀσθενῆς B, ἀσθενοίη in marg. s, ἀσθενῇ recte wk 29 πόλιν omis. M, itaque πολιτείας post εὕροις inseri volunt sw, πόλεις k

λεόντων ἢ ἐλεφάντων ἤ τινος ἄλλου τῶν ζώων, μόνων δὲ
ἀνθρώπων αἱ πόλεις ἔργα, ἐν αἷς τὰ τῆς | σοφίας εὑρήματα 50
καὶ τὰς πρὸς ἀλλήλους εὐεργεσίας φέροντες κατατίθενται,
κἀν ταύταις οἱ μὲν ἐπιτάττουσιν οἱ δὲ ὑπακούουσι. καὶ
παρὰ μὲν τῶν ἀρχομένων τιμαὶ καὶ φόροι τοῖς ἄρχουσιν
ἀρετῆς ἆθλα ταῦτα καὶ τῆς εἰς τοὺς ἐλάττους προνοίας,
παρὰ δὲ τῶν ἀρχόντων διηνεκὴς τῶν ὑπὸ χεῖρα φροντὶς
καὶ πρόνοια συνεχής, ἣν τοσαύτην δείκνυνται, ὥσθ' ὅ γε
καλὸς καὶ δίκαιος ἄρχων ἰδίοις κινδύνοις σωτηρίαν τοῖς
ἄλλοις πορίζει καὶ πολλοὶ ταῖς πατρίσιν ἀμύνοντες ἔπεσον,
ὃ τῆς τῶν ἀλόγων φύσεως πορρωτάτω. ὑπὲρ γὰρ αὑτῶν
μόνον ἢ καὶ τέκνων μόλις ἴδοι τις ἂν ἀμυνόμενα, ἀνθρώ-
πων δὲ μόνων ἡ τῶν ἐλαττόνων πρόνοια παρώνυμός τις
οὖσα λόγου καὶ νοῦ. καίτοι τί τις ἂν εἴποι τούτου καθαρώ-
τερον δεῖγμα τῆς τε ἀνθρωπίνης τελειότητος καὶ τῆς τῶν
ἀλόγων ἐνδείας; τὰ μὲν γὰρ σφίσιν αὐτοῖς μόνον καὶ τοῦτο
πεφεισμένως ἀρκεῖ, ἐν δὲ τοῖς ἀνθρώποις τὸ παρὰ τοῦ
λόγου τέλειον καὶ τῶν ἄλλων ἐπιλαμβάνεται καὶ τοὺς δεο-
μένους πληροῖ. καὶ ἴδοις ἂν ἕνα ἄνθρωπον οὐ τῶν ἄλλων
ζώων μόνον ἀγέλας πεποιημένον ὑφ' ἑαυτῷ, ἀλλὰ καὶ πολ-
λῶν μὲν πόλεων πολλῶν δὲ ἐθνῶν πολλῆς δὲ γῆς ἄρχοντα·
τινὲς δὲ καὶ τῆς οἰκουμένης πάσης ἡγήσαντο οὐκ ἀμυδρὸν
σύμβολον | δείξαντες ἐν αὑτοῖς τῆς θείας ἀξίας. ὃ δ' ἄν 51
τις θαυμάσειεν, ὅτι καὶ ἀλόγων ζώων καὶ ἀνθρώπων εἷς
ἄνθρωπος ἄρχειν ἐπιχειρῶν αὐτὸς τὸν ζυγὸν τοῦτον ἀπο-
διδράσκει καὶ πάντα μᾶλλον αἱρεῖται πάσχειν ἢ δουλεύειν

---

1 μόνα B, coniectura μόνων Seileri, quam accep. wk confirmatur A 3 ἄλλους pro ἀλλήλους N 4 ἐπιτάττουσι O || ὑπακούουσιν N 8 συνεχεῖς Bs 9 καὶ δίκαιος omis. P superscr. V 10 ταῖς omis. Me 11 ἄλλων ζώων pro ἀλόγων A 14 καινοῦ NQM corr. s || καίτοι τίς ἂν NOQ καίτοι τί ἂν ex corr. M, τις post ἂν inser. s, inde τί ἂν τις wk 18 τῶν ἀνθρώπων pro τῶν ἄλλων V || ἀντιλαμβάνεται in marg. s, in textu w 21 πολλοῖς B corr. s 22 τοῖς pro τῆς B || ἀμυδρῶν B corr. O et s 23 ἑαυτοῖς sine ἐν M, marg. add. ἐν αὐτοῖς s, confirm. nunc ANOQ, ἐν ἑαυτοῖς wk

ἑτέρῳ, ὡς ἂν ἄνωθεν αὐτῷ τῇ μὲν ἐλευθερίᾳ τῆς φύσεως συγκεκληρωμένης, τῷ δὲ δουλεύειν ἀπηχθημένης.

XI. Οὕτω δὴ παντοδαπὸν ἀνθρώπου ψυχὴ καὶ ἐλεύθερον καὶ νῦν μὲν τοῦτο νῦν δὲ ἐκεῖνο ποιεῖν αἱρουμένη καὶ ποτὲ μὲν οὕτω ποτὲ δὲ ἐναντίως καὶ ἀεὶ πρὸς τὸ δοκοῦν τὰς πράξεις ἁρμοζομένη. τοῦτο δ' αὐτῇ παρὰ τῆς εὐπορίας τοῦ λόγου, ὃ μόνον ἐλεύθερον καὶ τῶν ἐναντίων καὶ ποιητικὸν καὶ εὑρετικόν. ἡ δὲ φύσις πτωχή τις οὖσα καὶ ἄπορος πρὸς ἓν μόνον αὐτή τε ὥρισται καὶ τὰ ταύτῃ δουλεύοντα ζῷα ἐνδεᾶ καὶ δοῦλα καθίστησι μικροῖς ἐγκλείουσα νόμοις. ἄνθρωπος δὲ οὕτω πρὸς τὸ ἄρχειν ἄνωθεν παρὰ θεοῦ παρεσκεύασται, ὥστε οὐ μόνον τῶν ἄλλων ἡγεῖσθαι βούλεται, ἀλλὰ πρὸς ἑαυτὸν τὴν ἀρχὴν ἐπιδείκνυται ταύτην καὶ τοῦθ' ὅταν τὴν ἑαυτοῦ φύσιν τηρῇ. ὥστε τούς γε σώφρονας καὶ φρονίμους ἐγκρατεῖς ἑαυτῶν καὶ ἄρχοντας ἑαυτῶν ἀξιοῦμεν καλεῖν. καὶ οὗτοι μάλιστα αὐτοί τε εὐδαίμονες καὶ
52 τοῖς | ἀρχομένοις εὐδαιμονίας εἰσὶν αἴτιοι, οἳ ἂν μάλιστα ὥσπερ ὄχλου τῆς ἐν αὐτοῖς ἀλογίας ἄρχειν ἐπίστωνται. καὶ πρὸ ταύτης τῆς ἀρχῆς οὔ φασιν οἱ νοῦν ἔχοντες θεμιτὸν εἶναι τοῖς ἀνθρώποις ἐπὶ τὸ δημόσιον παριέναι, ὡς οὐδὲν πράξουσιν ἄξιον λόγου, ἀλλὰ τοῖς ἄλλοις καὶ ἑαυτοὺς προσδιαφθεροῦσι.

---

14 Gorg. 491 D: πῶς ἑαυτοῦ ἄρχοντα λέγεις; . . . σώφρονα ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἄρχοντα τῶν ἐν ἑαυτῷ

---

1 ἡ μὲν B, sed corr. O et s 2 ἀπηχθημένη B, corr. O et s 3 δὴ coni. s, in textum recepit w, δὲ Bk, omisit A 5 μὴν pro μὲν corr. s 6 τοῦτο δ' ἂν αὐτῇ N ‖ ἀπορίας M corr. s 9 αὐτῇ τε NOMe 10 καθίστησιν NOMe ‖ ἐγκείουσα B, corr. O, ἐγκλείουσα ἢ οἰκειοῦσα in marg. s, inde ἐγκλείουσα wk 11 παρὰ τοῦ θεοῦ Be 12 παρασκεύασται V παρασκεύασθαι QM, corr. O, παρεσκεύασθαι N 12—13 βούλεσθαι et ἐπιδείκνυσθαι in marg. sw 14 αὐτοῦ V ‖ τηρεῖ Msw 15 inter ἄρχοντας et ἑαυτῶν inser. καὶ Ms 17 εἰσὶ O 18 τοῖς pro τῆς B, ἀνθρώποις abbrev. pro αὐτοῖς M, inde inepte sk, ἑαυτοῖς w 20 περιέναι N corr. M 21 ἄξιον λόγον B in marg. λόγου s

*Τούτου δὲ πάντη τὸ τῶν ζώων γένος κεχώρισται καὶ οὐδὲν ἂν εὕροι τις ἐκείνων ταῖς ἰδίαις ἐπιθυμίαις μαχόμενον, ἀλλὰ ταῖς παρὰ τῆς φύσεως ὁρμαῖς ἀκωλύτως ἑπόμενον. οὔκουν ἡ μὲν φύσις τροφῆς ὑπομιμνήσκει τὰ δὲ προκρίνει λιμόν, οὐδ' ἐπὶ ποτὸν ἄγει τὰ δ' αἱρεῖται δίψαν. τοῖς δὲ τῆς μίξεως καιροῖς καὶ νομεῦσι καὶ ἀλλήλοις ἀφόρητα γίνεται καὶ τὸν πρὸς τὴν γένεσιν οἶστρον οὐδὲν οὕτως ἰσχυρὸν ὥστε κολάσαι. αἴτιον δὲ τὸ τὴν φύσιν ἐν αὐτοῖς χωριζομένην τοῦ λόγου μὴ ἔχειν τὸν οἷς ὁρμᾷ πράττειν ἐπιτιμήσοντα καὶ διὰ τοῦτ' ἐκ παντὸς τὰ ἑαυτῆς ἤθη θέλειν ἀποπιμπλάναι. ἀλλ' ἐν ἀνθρώποις πολὺς πρὸς τοὺς τῆς φύσεως νόμους ὁ πόλεμος καὶ τούτου πᾶς τις ἑαυτῷ προσέχων ἐν ἑαυτῷ καθ' ἡμέραν πειρᾶται. πόσοι πλησμονῆς ἐπιθυμίᾳ λιμὸν ἀντεξάγουσιν ἢ ἰατροῖς πειθόμενοι ἢ σαρκὶ νομοθετοῦντες ἢ ἄλλων εἵνεκα τὴν τοῦ σώματος |* 53 *παραιτούμενοι θεραπείαν, τὴν δὲ τῆς μίξεως ὄρεξιν, ἣν δὴ τυραννικώτατον νόμον πᾶσι τοῖς ζώοις ἡ φύσις ἐπήνεγκεν, οὕτω τινὲς ἐβδελύξαντο, ὡς καὶ γυναικείας ὄψεως διὰ βίου παντελῶς ἀποσχέσθαι.*

XII. *Τοῦτο δ' αὐτοῦ τις αἰσθάνεται ποιοῦντος καὶ πρὸς θυμόν. οὗτος μὲν γὰρ τὸν ἠδικημένον κατὰ τῶν ἠδικη-*

---

4 Phaed. 94 B  7 cfr. Basil. de virg. c. 3 (XXX 676 C): *τὸν τῆς μίξεως οἶστρον*  15 Phaed. 66 D: *τῇ τούτου* (sc. *τοῦ σώματος*) *θεραπείᾳ*  18 cfr. Bas. serm. de contubernalibus c. 2 (XXX 816 C): *τὸν ἅπαντα χρόνον τῆς ζωῆς διέτριβον . . τοῦ ὁρᾶν γυναῖκα ἀπαλλαττόμενοι*  21 sq. Basil. serm. de leg. libr. gent. c. 4 (XXXI 576 C): *τῇ τραγῳδίᾳ γὰρ οὐ πιστευτέον „ἁπλῶς" λεγούσῃ „ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χέρα"* (= Eur. Rhes. 84 sed *μῦθος* pro *θυμὸς*)

---

1 *τοῦτο* M, in marg. *τούτῳ παντὸς τούτων* s, in text. *τούτῳ δὲ παντὸς* w *τούτῳ δὲ πάντη* k ‖ *γένους* in marg. s, *τοῦ γένους* w  5 *ἢ δ' ἐπὶ* et *τόδ' αἱρεῖται διψᾶν* A  6 *ἀλλόγοις* Q  8 *κωλῦσαι* pro *κολάσαι* in marg. sw  10 *τοῦτο* Me ‖ *ἔθη* e  12 *τοῦ τούτου* Bs  14 *λιμὸν* Me, *λοιμὸν* NOQ, *λιμνὸν* A ‖ *ὁ* ante *ἰατροῖς* pro *ἢ* B, corr. s  17 *πᾶσιν* N ‖ *τοῖς* omis. A  18 *ἐβδελύξαντο* V ‖ *διὰ τοῦ* B in marg. *βίου* O, *τοῦτο* s, inde wk  21 *μὲν* omis. Be ‖ *ὁδικημένον* B, sed corr. O, *ἀδικημένον* sw

κότων ὁπλίζει καὶ χεῖρα καὶ ξίφος ἐπενεγκεῖν αὐτῷ παραινεῖ, ἔνδοθεν δέ τινος ἐπιτιμῶντος ὁ κεκινημένος αἰσθάνεται καὶ διδάσκοντος, ὡς ἐφεκτέον μὲν τὴν ὀργὴν ἀμύνης δὲ ἀφεκτέον, καὶ φυλακτέον μὲν τὰς τῶν λεόντων καὶ ἄρκτων καὶ συῶν ὁμοιώσεις, ἀναχωρητέον δὲ ἐπὶ τὸν ἄνθρωπον κατὰ τοῦ λόγου μέτρον καὶ τὴν εὐσχημοσύνην. καὶ τοσοῦτον αὕτη πολλάκις ἡ ἐπιτίμησις ἴσχυσεν, ὥστε τὸν θυμὸν σβέσασα ἔπεισε τὸν ἐλαττωθέντα τὰ τῶν φιλούντων πρὸς τὸν πλεονεκτεῖν βουλόμενον ἐπιδείξασθαι. καὶ ἔστιν ὥσπερ εἰκάσαι τὰ κατὰ τὸν ἄνθρωπον πόλει παρόμοια, ἐν ᾧ λόγος καὶ φύσις, ὥσπερ ἐκεῖ ἄρχων καὶ ἰδιῶται, καὶ βασιλεύει μὲν ὁ λόγος, ἄγεται δὲ ἡ φύσις. καὶ νόμος οὗτος παρὰ θεοῦ τοῖς μέλλουσιν εὐδαιμόνως βιώσεσθαι μηδενὶ παρὰ τὸ τῷ λόγῳ δοκοῦν ἐν πᾶσιν ἐπιχειρεῖν. οὐδεὶς οὖν, ὅστις οὐκ ἐν
54 ἑαυτῷ τῆς διαφορᾶς ταύτης πειρᾶται, ὡς ἄλλο μὲν ἐν ἡμῖν | ὁ λόγος, ἄλλο δὲ ἡ τοῦ σώματος φύσις, καὶ τὸ μὲν οἷον ἐν ἡμῖν νομοτεθεῖν τε καὶ ἄγειν, τὸ δὲ οἷον ὑπείκειν καὶ ἄγεσθαι· ὅπερ ἑπόμενον μέν, πρὸς ἅπερ ἐκεῖνο σκοπεῖ, τῆς παρ᾽ αὐτοῦ τυγχάνει προνοίας, ὥσπερ τῶν ἡμιόνων αἱ πρὸς τὴν ὁδοιπορίαν ἡμῖν καὶ τὰ ἄχθη λυσιτελοῦσαι. ἂν δ᾽ ἀντιλέγῃ καὶ τοῖς παρ᾽ ἑαυτοῦ τὰ παρ᾽ ἐκείνου συγχέῃ, ἐνταῦθα δείκνυται καθαρῶς ἡ τοῦ λόγου πρὸς τὸ σῶμα καὶ

10 Plat. Reip. IV 441 C: τὰ αὐτὰ μὲν ἐν πόλει τὰ αὐτὰ δ᾽ ἐν ἑνὸς ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι E: τῷ μὲν λογιστικῷ ἄρχειν προσήκει, τῷ δε θυμοειδεῖ ὑπηκόῳ εἶναι Reip. IX 591 E: ἀποβλέπων πρὸς την ἐν αὐτῷ πολιτείαν 11—12 Phaed. 80 A: ψυχὴ καὶ σῶμα. τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι τῇ δε ἄρχειν καὶ δεσπόζειν etc. cfr. v. 16—18 22 cf. p. 23, 10 Phaed. 94 C. D: νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται ἐργαζομένη ἡγεμονεύουσά τε ἐκείνων πάντων καὶ ἐναντιουμένη καὶ δεσπόζουσα . . . τὰ μὲν κολάζουσα . . . ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη (sc. ψυχή)

2 ἔνδον B e ‖ καὶ κινημένος B in marg. corr. s 5—6 κατὰ.. μέτρα P καὶ τὰ...μέτρα V, καὶ τὸ e ex coni. s 7 ἡ omis. O M, add. e ‖ συέβασα V 8 φίλων pro φιλούντων A ‖ post ἔπεισε usque λόμενον ἐπιδ. lacuna in Q, ἤπεισε in textu, ἔπεισε, ἢ ἤπειγε in marg. s 13—14 τὸ λωγοδοκοῦν N O τὸ λόγω δοκοῦν Q τὸ λογοδοκοῦν M τῷ λόγῳ in marg. s 15 verba ab ἐν ἡμῖν usque ad ἐν ἡμῖν (17) omis. O 21 ἑαυτῆς pro ἑαυτοῦ coni. s, inde w k

τὰ σωματικὰ δεσποτεία. λαβόμενος γὰρ ὥσπερ τινὸς δραπέτου δούλου τοῦ σώματος πρῶτον μὲν ἔστιξε λιμῷ καὶ δίψει καὶ ταῖς ἄλλαις κακοπαθείαις, ἔπειτ' ἢν μὴ σωφρονισθὲν τῆς αὐθαδείας ἀπόσχηται, τότε δὴ τὸν θυμὸν ὥσπερ τινὰ κατὰ πολεμίων σύμμαχον ὁ λογισμὸς προσπαραλαβὼν πικρὸς τῆς τοῦ σώματος ἀγνωμοσύνης γίνεται κολαστὴς οὐκ ἔτ' ἀξιῶν φείδεσθαι τοῦ τολμῶντος ἐναντιοῦσθαι. ὥστ' ἢ κατὰ κρημνῶν ὦσεν ἢ βρόχον ἀνῆψεν ἢ ξίφος ἐπήνεγκεν αὐτόχειρα τὸν ἄνθρωπον ἀναγκάσας γενέσθαι, ὃ φανερώτατον ἂν εἴη δεῖγμα τοῦ τὴν λογικὴν ψυχὴν οὐ μόνον ἕτερον τοῦ σώματος εἶναι, ἀλλὰ καὶ δέσποιναν καὶ τοσοῦτον ὥστε καὶ ἀπολλύναι. οὐ γὰρ ἄν, εἴ γε μὴ ἕτερον ἦν, ἠμύνετο οὐδ' ἂν ἀπέκτεινε χολωθεῖσα, καὶ | εἴ τι τῶν σωματικῶν 55 τῶν ἐν ἡμῖν κύριον ἦν, οὐκ ἂν θάνατον τοῦ σώματος, ὅτ' ἐδόκει, κατεψηφίζετο· οὐδὲν γὰρ ἂν ἑαυτὸ ἀπολλύοι, ἐπεὶ μηδ' ἔστιν ἰσχὺς αὐτῷ τινι καθ' αὑτοῦ. πᾶν γὰρ αὑτὸ τὸν δυνατὸν τρόπον σώζειν ἐπείγεται καὶ τοῖς τὴν σωτηρίαν κωλύουσιν ἀδιάλλακτα πολεμεῖ· ὥστ' εἰ μηδὲν παρὰ τὸ σῶμα καὶ τὴν αἴσθησιν ἄνθρωπος ἦν, πᾶς ἂν ταῖς τοῦ σώματος ὀρέξεσιν εἵπετο καὶ ὅπως ἂν τοῦτ' εὖ πάθοι, μόνον ἐφρόντιζεν, πόλεμος δὲ πρὸς τὰς ἡδονὰς οὐδεὶς ἂν ἦν οὐδὲ τῶν μὲν ὑπὲρ τὴν αἴσθησιν ἐπιθυμία, αὐτοῦ δ' ὑπεροψία καὶ καταφρόνησις.

XIII. Ἀλλ' ἴσως δόξω τισὶν οὐ μετ' ἀνάγκης ἐπὶ τὴν πολυλογίαν ταύτην ἐλθεῖν· εἶναι γὰρ δῆλον, ὡς ἔχει τι πλέον σώματος καὶ τῶν σωματικῶν ἄνθρωπος, τοῦτον δὲ

---

4 Reip. IV 440 B: *σύμμαχον τῷ λόγῳ τὸν θυμόν.* inde etiam Basil. hom. X adv. iratos c. 5 (XXXI 365 B). ceterum conferas locos, quos A. Jahn in edit. Greg. Palam. Prosop. p. 42 affert

---

3 *ἔπειτ' ἢν* A *ἐπεὶ τὴν με* NM *ἔπειτ' ἂν μὴ* in marg. s in textu *ἐπι την μέσω φρ.* wk *ἠπεὶ τὴν μεσω* Q 7 *ἔτι* Me 11 *ἐπὶ* ante *τοσοῦτον* e secundum s 13 *οὐδ' ἀπέκτεινε* N 14 *τῶν* ante *ἐν* omis. Be 14—15 *ὅτι ἐδόκει* M in marg. *ὅτε* s, inde wk 21 *ἐφρόντιζε* Be 22 *ὑπὸ* coni. s ‖ *αὐτῆς* pro *αὐτοῦ* voluit w 24 *μετὰ* N 26 *τουτο* NQMsw ‖ lacun. inter *σώματος* et *λογίζεται* (24, 1) O

εἶναι τὸν λόγον, ᾧ πάντα λογίζεται καὶ κρίνει καὶ ποιεῖ καὶ πρὸς τὸ οἰκεῖον ἕκαστα τέλος ἁρμόζει· τούτου γε μὴν οὐδὲ τὴν τῶν ἄλλων ζώων φύσιν ἄμοιρον εἶναι, κἀκεῖνα γὰρ τὰ προσήκονθ' ἑαυτοῖς κατὰ λόγον ὁρᾶται ποιοῦντα καὶ τέλος αὐτοῖς ἐστιν ἑκάστη τῶν πράξεων· οὐκ ἂν δ' οὕτως ἐποίει μὴ λόγῳ πρὸς τὸ τέλος ἀγόμενα, ἄλλως γὰρ τύχην ἀναγκαῖον ἂν ἦν, ὧν πράττουσιν, αἰτιᾶσθαι καὶ οὕτως οὐδὲν ἂν ἦν,
56 ἐν οἷς πράττουσιν, ὡρισμένον, | ἀλλ' ὅπερ ἂν ἔτυχε, τούτοις συνέβαινεν, οὗ τὸ ἐναντίον τὰ περὶ αὐτὰ φαινόμενα μαρτυρεῖ, ἀεὶ ἢ τὸ πλεῖστον πάντων, ὧν ἐπιτηδεύουσιν, ὁμοίων ἀποβαινόντων. ἐγὼ δὲ καὶ κατὰ λόγον μὲν γίνεσθαι τὰ ὑπὸ τῶν ζώων γενόμενα τίθεμαι· οὐκ ἐπὶ τούτων γὰρ μόνων, ἀλλὰ κἀπὶ τῶν ἀψύχων τὸ κατὰ λόγον ἴδοι τις ἂν τάξει τινὶ καὶ τούτων γινομένων καὶ ἐνεργούντων. οὐ μὴν αὐτὰ τὸν τῶν γινομένων λόγον ἐν ἑαυτοῖς ἔχοντα ἑαυτὰ κατ' ἐκεῖνον καὶ τὸ δοκοῦν ἄγειν φημί, τὸν δὲ δημιουργὸν κατὰ τὸν ἐν αὐτῷ λόγον ἕκαστον πρὸς τὸ προσῆκον αὐτῷ τέλος ἐπείγειν, αὐτὰ δ' ἀσύνετα πάντα τῆς τῶν γινομένων αἰτίας ὑπάρχειν· ἐπεὶ καὶ τὸ βέλος οὐκ οἶδε μὲν τὸν σκοπόν, παρὰ δὲ τοῦ τοξότου ἐφ' ὅπερ ἐνεχθῆναι προσῆκον ἰθύνεται καὶ οὐκ ἂν εἴποι τίς τινος τὸ βέλος στοχάζεσθαι οὐδὲ γνῶσιν ἢ βούλησιν ἔχειν τοῦ τέλους. οὕτω κατὰ λόγον μὲν ποιεῖ καὶ τὰ ζῷα· ὧν μέντοι ποιεῖ, αὐτὰ μὲν τὴν αἰτίαν οὐκ οἶδε, κινεῖται δὲ καὶ δὴ τυγχάνει παρὰ τοῦ τὰ πάντα εἰδότος ἀγόμενα. καὶ τούτου τεκμήριον τὸ μόνοις ἐκείνοις ἐπιχειρεῖν, ἃ πρὸς τὴν ἀνάγκην τοῦ εἶναι συμβάλλεται, περαιτέρω δέ τινος μηδ' ἅπτεσθαι τὴν ἀρχήν. εἰ γάρ τινα λόγον καὶ θέλησιν αὐτοῖς

---

1 Reip. IV 439 D: τὸ μέν, ᾧ λογίζεται, λογιστικὸν προσαγορεύοντες

---

5 ἑκάστης in marg. sw   10 ἢ omis. N   11 καὶ omis. P   13 κἀπὶ AN καὶ ἐπὶ OMe καὶ πὶ Q   17 αὐτῶ AN αὐτῷ Q ἑαυτῷ OMe   20 ἀνεχθῆναι B in marg. ἐνεχθῆναι s, inde wk   22 κατὰ τὸν λόγον N ‖ ποιεῖν V   25 τούτου τὸ τεκμήριον N   26 ἀνάγκην mutilat. in ἀγ Msw, coniectur. w prob. k recte ut ceteri cod. docent ‖ παραιτέρω BVsw

εἶχεν ἡ ὄρεξις, ἔπραττεν ἄν τι καὶ τῆς | ἀνάγκης ἐκτὸς τῇ 57 περὶ πάντα δυνάμει τοῦ λόγου προσχρώμενα, ὅς γε καὶ τῶν ἐναντίων καὶ γνωστικός ἐστι καὶ ἀνυστικός. οὐ τοίνυν ἄλλο τι τῶν παρὰ τὸν ἄνθρωπον ζώων ψυχὴν λογικὴν ἔχειν ὑποληπτέον, ἀλλ᾽ ἔστι τοῦτο μόνης τῆς ἀνθρωπίνης φύσεως ἴδιον.

XIV. Ἄνθρωπος τοίνυν οὐχ ἁπλῶς τῶν αἰσθήσει μόνῃ ζώντων ἐστὶ πρὸς οὐδὲν τῶν ὑπὲρ αὐτὴν πεφυκὼς διαβαίνειν, ἀλλ᾽ ἔχει μὲν αἴσθησιν καὶ ταύτῃ πόλλ᾽ ἔχει πρὸς τἄλλα ζῷα κοινά· ὃ δ᾽ αὐτὸν καθαρῶς ἄνθρωπον δείκνυσι καὶ τῶν λοιπῶν διαιρεῖ, ὁ λόγος ἐστὶ καὶ ὁ νοῦς, ὥσπερ τις ἡγεμὼν ἐν μετεώρῳ καθήμενος καὶ πρὸς ἑαυτὸν καὶ τὰ ἑαυτοῦ πᾶσι τοῖς περὶ τὸν ἄνθρωπον χρώμενος, ὡς ἂν ἐν οἰκίᾳ δεσπότης, πρὸς ὃν πάντα τέτακται καὶ τὰ τῶν υἱέων καὶ τὰ τῶν δούλων. λογικὴν τοίνυν καὶ νοερὰν φύσιν παρὰ τοῦ δημιουργοῦ λαβοῦσα ἡ ἀνθρωπίνη ψυχὴ σῶμα μὲν οὐκ ἂν εἴη.

Οὔτε γὰρ ἂν αὐτὴ τὸ σῶμα πρώτως ἐκίνει οὔτ᾽ ἂν ἐχώρει δι᾽ ὅλου τούτου, ἀλλ᾽ ἦν ἂν κατὰ τοὺς εἰς ἀλλήλους ἐμβαλλομένους κάδους ἑνοῦσα τῷ σώματι καὶ τῷ μὴ διὰ παντὸς διικνεῖσθαι πολλὰ τῶν τοῦ σώματος καὶ μάλιστα τὸ ἔξω πᾶν ἐξ ἀνάγκης ἄψυχον καταλείπουσα. ἦν δ᾽ ἂν καὶ μέγεθος τῇ ψυχῇ κατὰ | τὰ σωμάτων μεγέθη, ὥστ᾽ εἶναι 58

---

15 Bas. de homin. structura orat. I c. 16 (XXX 24 D): τὸ τῆς ψυχῆς νοερόν τε καὶ λογικόν 19 Greg. Nyss. de anima (Mign. 217 A): ἡ δὲ ψυχὴ . . ὅλη δι᾽ ὅλου χωρεῖ . . οὐδὲ ἐν τῷ σώματί ἐστιν ὡς ἐν ἀγγείῳ ‖ Bas. hom. III in hexaemeron c. 3 (XXIX 57 C): κατὰ τὴν εἰκόνα τῶν κάδων τῶν εἰς ἀλλήλους ἐμβεβηκότων (secundum Plat. Reip. X 316 D)
21 Greg. Nyss. l. c.: ἀλλὰ διὰ παντὸς σώματος χωροῦντα . . οὐχ οἷά τε ἐστὶν ὑπὸ τῶν σωματικῶν κατέχεσθαι

---

1 ἔπραττον Be 2 πρὸς pro περὶ voluerunt sw ‖ ὥστε pro ὅς γε N, ὅστε M, in marg. ὥστε, ἐλλείπειν οὐκ ὀλίγα δοκεῖ s ὅσγε wk recte 3 post ἐναντίων inser. μόνος ὁ ἄνθρωπος s
10 τὰ ἄλλα N ‖ δείκνυσι A, deest in B, ποιεῖ coni. s, inde wk 16 λαυοῦσα V 18 ἂν prius omis. VO ‖ οὔτε ἂν O ‖ ἐκείνει NOQ ἐκείνη M, in marg. ἐκίνει s ἐκίνα w 21 τοῦ omis. B in marg. add. s 23 ὥστε NMe

*λέγειν καὶ τοῖν Αἰάντοιν τὸν μὲν Τελαμώνιον μείζονα, τὸν δὲ Λοκρὸν ἐλάττονα ψυχὴν περιφέρειν. καὶ μὴν καὶ τεμνομένου τοῦ σώματος μετεῖχεν ἂν κἀκείνη τοῦ πάθους, ἀλλὰ καὶ τῶν ἐν αὐτῇ γινομένων εἰδῶν ἣν ἂν ἕκαστον ἐπὶ μέρους, τοιαῦτα γὰρ τὰ ἐν ὕλῃ καὶ σώμασιν. ὥστ' οὐδὲν ἂν ᾔδει καθόλου, ἀλλ' εἶχεν ἂν μόνον αἴσθησιν, ὧν νῦν ἐπιστήμην. οὕτως ὁ τὴν ψυχὴν σῶμα τιθεὶς λόγος πολλοῖς ἀτόποις ἐνέχεται. ἀλλὰ μὴν ἀσώματον οὖσαν καὶ κρατοῦσαν τοῦ σώματος καὶ τοῦτο κατὰ τὸ δοκοῦν κυβερνῶσαν, τίς μηχανὴ μὴ καὶ θανάτου κρείττω καὶ φθορᾶς αὐτὴν ὑποτίθεσθαι; ἥ τε γὰρ κατὰ τοῦ σώματος ἀρχὴ καὶ τὸ μὴ δῦσαν εἰς αὐτὸ παντελῶς βεβαπτίσθαι, ἀλλ' ἀνέχειν καὶ τὸ μὲν σῶμα χωρισθὲν ἐκείνης μηδὲν δύνασθαι πράττειν, αὐτῆς δὲ τὰς μεγίστας καὶ σεμνοτάτας ἐνεργείας καὶ ἑαυτῇ συμφύτους τοῦ σώματος καὶ τῆς ἐκεῖθεν φλυαρίας παντελῶς ἀπηλλάχθαι, τεκμήριον ἐναργὲς εἶναί τινα καθ' αὑτὴν τῆς ψυχῆς οὐσίαν ἐνδεᾶ μὲν σώματος, δυναμένην δὲ ἐφ' ἑαυτῆς καὶ εἶναι καὶ μένειν καὶ προσέτι πράττειν τὰ ἑαυτῆς τοσοῦτον τελεώτερόν τε καὶ καθαρώτερον, ὅσον καὶ μᾶλλον ἀποδιδράσκει τὸ σῶμα*
59 *καὶ ἑαυτῇ | πειρᾶται συνεῖναι. ὅταν γὰρ τοῦ σώματος καὶ τῶν περὶ τούτου φροντίδων ἑαυτὴν ἀπολύσασα ᾖ καὶ τὴν περὶ τὸν ὁρατὸν κόσμον πλάνην ἀφεῖσα τοὺς ἀφανεῖς τῶν*

---

2 Greg. Nyss. l. c. 193 B: *συμπάσχει ἡ ψυχὴ νοσοῦντι καὶ τεμνομένῳ τῷ σώματι* (Plat. Reip. X 610) 8 idem 217 A: *ἡ δὲ ψυχὴ ἀσώματος οὖσα . . κρατεῖ τὸ σῶμα . . οὐχ οἷά τε ἐστὶν ὑπὸ τῶν σωματικῶν κατέχεσθαι* 20 sq. et p. 27 cf. Phaed. 79 C: *ὅταν αὐτὴ καθ' ἑαυτὴν σκοπῇ, οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὄν . . . πέπαυται τοῦ πλάνου . . ἅτε τοιούτων ἐφαπτομένη*

---

3 *μετέχειν ἂν* sw 5 *γὰρ* omis. B marg. adiunxit s, inde wk 6 *ᾔδει* A, marg. adscr. s, in text. acc. w, *ᾔδη* Bk ‖ *ἂν* post *εἶχεν* omis. N 7 *σωματωθεὶς* N *σωματοθεὶς* OQM in marg. *σωματοποιῶν* s *σῶμα τιθεὶς* coni. w probavit k, recte ut ceteri codic. edocent 9 *κυνερνῶσαν* V 11 *δύσασαν* male s in marg., *καὶ τὲ δῦσαν εἰς αὐτὸ μὴ παντ.* k 13 *αὐτῆς καὶ τὰς* M, ex marg. s *αὐτὴν δὲ κατὰ τὰς* sumps. wk 15 *ἀπαλλάχθαι* N 16 *καθ' ἑαυτὴν* Be 17 *ἐνδεᾶ* B quod propter oppos. *δυναμένην δὲ* praefero, *ἀνενδεᾶ* A idem e ex coni. s 21 *τοῦτο* Be

*ὄντων λόγους σκοπῇ καὶ τὴν ἀλήθειαν ἐφ' ἑαυτῆς δοκιμάζῃ, τότε καθαρῶς ἑαυτῆς γινομένη καὶ τῶν ἀΰλων παραδειγμάτων ἀσώματος ἀσωμάτων ἐφαπτομένη καὶ ὥσπερ ἔνδον ἱερῶν γινομένη καταλιμπάνει μὲν ἔξω τὸ σῶμα, ὡς οὐ θεμιτὸν ἐκείνου παρεπομένου καὶ τὴν ἰδίαν ἀφροσύνην ὥσπερ τι σκότος αὐτῆς καταχέοντος τῆς ἀληθείας λαβέσθαι, ἀλλ' ὥσπερ τινὸς ἄχθους ἀπαλλαγεῖσα κούφη πρός τε τὴν οὐσίαν καὶ τὸ ἀληθὲς διαβαίνει. καὶ τότε τὸν ἄνθρωπον τελεώτατον καὶ σοφώτατον καὶ ἀνδρῶν ἄριστον καὶ πάντα τὰ τῆς ἀρετῆς ὀνόματα προσειπεῖν ἔξεστιν. ἀναμιγνύμενον δὲ τῷ σώματι καὶ τὰ μαθήματα αἰσθήσει καὶ φαντασίᾳ θηρεύοντα εἰκάσαις ἂν ἀνδρὶ βασιλεῖ τὴν μὲν ἁλουργῆ χλαμύδα καὶ τὸ διάδημα ἑκόντα ἀποτιθέμενον, ἀναμιγνύντα δὲ τοῖς δούλοις αὐτὸν καὶ πρὸς τὰς δουλικὰς κατιόντα διακονίας. εἰ δὲ καὶ ταῖς ἡδοναῖς δουλεύοι καὶ τῶν τοῦ σώματος ἀναπιμπλῷτο κηλίδων, τότε εἰς πηλὸν ἢ βόρβορον ἑαυτὸν εἰσωθοῦντι παρεικαστέον καὶ τὴν μὲν καλὴν ὄψιν καὶ ἐπέραστον ἀφανίζοντι, εἰδεχθὲς δέ τι | καὶ βδελυρὸν ἀναλαμβάνοντι* 60 *πρόσωπον.*

XV. *Εἰ τοίνυν ἡ τελείωσις ἐκ τοῦ τὸ σῶμα καταλιμπάνειν τῇ ψυχῇ περιγίνεται, τίς νοῦν ἔχων συγχωρήσειεν ἂν αὐτὴν θνητὴν εἶναι καὶ τῷ σώματι συναπόλλυσθαι τὴν καὶ πρὸ τοῦ θανάτῳ λυθῆναι εἰς ἑαυτὴν ἀπ' ἐκείνου συναγομένην καὶ ἑαυτὴν πειρωμένην τούτου χωρίζειν, ὡς οὕτω μάλιστ' ἐνὸν ἑαυτῆς ἀπολαύειν; καὶ μὴν εἰ μετὰ τοῦ σώ-*

---

2. 4 Phaed. 65C: *λογίζεται κάλλιστα, ὅταν . . . ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται ἐῶσα χαίρειν τὸ σῶμα* 11 Theaet. 152C: *αἴσθησις καὶ φαντασία* 16 Plat. Reip. II 369D: *τοὺς ἀνοσίους εἰς πηλόν τινα κατορύττουσιν*, adde adn. ad p. 42, 25 et p. 43 23—25 Phaed. 67C: *χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχὴν καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν συναγείρεσθαι*

---

1 *σκοπεῖ* O et in marg. s ‖ *δοκιμάζει* Bs 2 *ἡ αὐτῆς* B corr. s 2 *αὐλῶν* N *ἀύλαν* M corr. s 4 *ὅς* pro *ὡς* OQM corr. Os 6 *λανέσθαι* V 8 *διαναίνει* V 12 *ἂν* omis. N 13 *καὶ* pro *δὲ* V 15—16 *ἀναπιμπλῷτο* PN *ἀναπίμπλωτο* V *ἀναπιμπλῦτο* OQM *ἀναπιμπλαῖτο* in marg. s, inde wk 17 *ἀπέραστον* B *ἀξιέραστον* in marg. s, in textu w, coni. autem w *ἐπέραστον* prob. k idem A 18 *υδελυρὸν* V 23 *θανάτου* N

ματος ταύτῃ τὸ εἶναι καὶ τούτου χωρὶς φθορὰν καὶ σκεδασμὸν ὑπομένει, πῶς ὑπερβαίνουσα πᾶν σῶμα τῶν ἀσωμάτων ἐφίεται καὶ τῇ τούτων ἐνευπαθεῖ θεωρίᾳ, κἄν τις ἐκεῖθεν ἀφέλκῃ, ἄχθεται καὶ ἀλγεῖ, ὥσπερ προσηκόντων καὶ οἰκειοτάτων ἀποσπωμένη; τὸ γὰρ ἥδεσθαι τοῖς ἀφθάρτοις συναπτομένην καὶ πάλιν λυπεῖσθαι διισταμένην συγγένειαν αὐτῇ καὶ ὁμοιότητα πρὸς τὸ ἀθάνατον μαρτυρεῖ· εἰ δ' ἐκεῖνο κρεῖττον μεταβολῆς, οὐδὲ ταύτην εἰκὸς ἐνέχεσθαι τῇ φθορᾷ. πῶς δ' ἂν ἀσώματος οὖσα καὶ διὰ τοῦτο ἀκίνητος — τῶν γὰρ σωμάτων ἡ κίνησις — ὑπομεῖναι φθοράν, ἣν ἄνευ κινήσεως συμβῆναι τὸ τῶν παντελῶς ἀμηχάνων; οὐ μὴν οὐδ' ἐναντίου τινὸς πλεονεκτοῦντος πεσεῖται, οὔτε γὰρ ἔστι τι ταύτῃ μαχόμενον. καὶ εἴ τις τὴν αὐτῆς πονηρίαν ἐρεῖ
61 δυναμένην, | ὥσπερ ἰὸς σίδηρον, τὴν ψυχὴν ἀναλίσκειν, ἀλλ' οἱ πονηρότατοι τῶν σπουδαίων οὐδὲν ἧττον ζῶντες καὶ τοῦτον τὸν λογισμὸν ἐξελέγχουσιν, ὡς οὐκ ἐνὸν αὐτὴν οὐδ' ὑπὸ τῆς οἰκείας κακίας φθαρῆναι, ὑφ' ἧς μόνης εἰκὸς ἦν αὐτὴν ἀπολέσθαι. εἰ δὲ καὶ τὴν ἀρχὴν εὔλογον ἐοικέναι τῷ τέλει, ᾧ παρὰ θεοῦ μόνου βουλομένου χωρὶς ὕλης ἡ γένεσις, τούτῳ καὶ παρὰ θεοῦ μόνου θέλοντος τὴν φθορὰν εἰκὸς ἐπακολουθῆσαι. ἀλλὰ μὴν „τὸ καλῶς συστὰν λύειν ἐθέλειν οὐ καλοῦ", σοφός τις ἔφη περὶ τοῦ κόσμου διαλεγό-

---

3 Phaedr. 247 D: θεωροῦσα τἀληθῆ ... εὐπαθεῖ. ita εὐπάθεια Reip. X 615 A voluptas, quam animus ex divinorum contemplatione capit, appellatur 5 Reip. X 611 E: ἐννοεῖν ὧν ἅπτεται καὶ οἵων ἐφίεται ὁμιλιῶν ὡς συγγενὴς οὖσα τῷ τε θείῳ καὶ ἀθανάτῳ Reip. VI 490 B: ἐφάπτεσθαι τοῦ τοιούτου· προσήκει δὲ συγγενεῖ Phaed. 79 D: ὡς συγγενὴς οὖσα αὐτοῦ (sc. τοῦ ἀθανάτου) 14 Reip. X 609 A sq: οἷον ... σιδήρῳ ἰὸν .... ἡ πονηρία ἕκαστον ἀπόλλυσιν 17 ibid. ὑπὸ τῆς οἰκείας κακίας 19 Plat. Tim. 41 A: Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γ' ἐθέλοντος .. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ

---

2 ἀπομένει N 4 οἰκειωτάτων NMe 8 μεταυολῆς V ‖ ἀνέχεσθαι Q 10 ὑπομεῖναι Qsw 11 συμβῆναι τω τῶν ANM συμβήναι το O 16 αὐτῇ Be 19 τοῦ θεοῦ N 20 τοῦτο B in marg. τούτῳ s, inde wk ‖ μόνον e

μενος. — χωρὶς δὲ τούτων καὶ τὴν φύσει καὶ κοινοτάτην ἐπιθυμίαν οὐκ ἔνεστι μάτην εἶναι. καὶ τεκμήριον, ὅτι τῶν ἀδυνάτων οὐδεὶς πώποτ᾽ ἠράσθη. τίς γὰρ πώποτε φρονῶν πτερῶν ἐπεθύμησεν ἢ ὑπὲρ τὰς νεφέλας ἀρθῆναι ἢ διὰ κυμάτων ὡς δι᾽ ἐδάφους περιπατεῖν, ἃ κἄν τις ὄναρ ἰδὼν διηγῆται γελῶμεν; ἀλλὰ τῶν δυνατῶν μόνον ὄρεξιν ἡ φύσις ἐνέθηκεν. τοιγαροῦν οὗ φύσει πάντες ἐφίενται, τοῦτο καὶ παρὰ τῆς φύσεως καὶ μάτην εἶναι ἀδύνατον. ἀλλὰ μὴν ἐν τῇ τοῦ ἀεὶ εἶναι ἐπιθυμίᾳ πάντες συμβαίνουσιν· οὐκοῦν ἀνάγκη τοῦτο καὶ ἔσεσθαι καὶ τὴν τοῦθ᾽ αὑτῇ συνευχομένην ψυχὴν ἀδύνατον τῆς εὐχῆς ἁμαρτεῖν.

XVI. Οὐκ ἄρα νοῦν ἐχόντων τὸ περὶ τῇ ψυχῇ τινων δεός, | μὴ μετὰ τοῦ σώματος ἀπολλύηται καὶ οὐκέτι οὐδαμοῦ ᾖ. 62
οὐ μόνον γὰρ σώζεται φθειρομένου, ἀλλὰ καὶ τὰ ἑαυτῆς πράττειν καθαρῶς οὐχ οἵα τε, ἂν μὴ τῶν παρὰ τοῦ σώματος κωλυμάτων ἀπαλλαγῇ. τὸ γὰρ φρονεῖν καὶ νοεῖν καὶ τοῖς θείοις καὶ ἀσωμάτοις συνάπτεσθαι, ὃ δὴ κατὰ φύσιν πάσῃ ψυχῇ καὶ πρὸς ὃ πάνθ᾽ ἃ λέγομεν καὶ διανοούμεθα τείνει, ὡς ἂν τῶν ἐν ἡμῖν ἄριστον ὂν καὶ θειότατον, τοῦτο παντελῶς φεύγει τὴν τοῦ σώματος κοινωνίαν καὶ μόνης ψυχῆς ἔργον ἐστὶ καθαρῶς αὐτὴν ἀπὸ τοῦ σώματος πρὸς ἑαυτὴν

---

7 sqq. cf. Thomae Aq. Summa theol. I qu. 75 a. 6 (quam graece vertit noster): unde omne habens intellectum naturaliter desiderat esse semper. naturale autem desiderium non potest esse inane. omnis igitur intellectualis substantia est incorruptibilis 8 Plat. Conv. 207 D: ἡ θνητὴ φύσις ζητεῖ κατὰ τὸ δυνατὸν τὸ ἀεὶ εἶναι 13 Phaed. 69 E: ἀπιστίαν, μὴ ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος οὐδαμοῦ ἔτι ᾖ, ἀλλ᾽..ἀπολλύηται 16. 19—21 Phaed. 80 E: ἐὰν μὲν καθαρῶς ἀπαλλάττηται μηδὲν τοῦ σώματος συνεφέλκουσα ἅτε οὐ κοινωνοῦσα αὐτῷ . . . ἀλλὰ φεύγουσα αὐτὸ καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτὴν . . . 19 ibid. 65 A: ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας

---

1 τούτων τὴν omisso καὶ P 2 ἔνεστιν N 3 πώποτε ἠρ. N ‖ σωφρονῶν A εὐφρονῶν in marg. s in textu w 4 ἐπιθύμησεν O 6 μόνον AQ in marg. s in textu k, μόνων MNOw 10 τοῦτ᾽ αὐτῇ M τῷ ἀεὶ in marg. s inde wk, τὴν τοῦ καθ᾽ αὑτῇ V 10—11 συνεχομένην Be sed corr. O 13 ἀπολλύνεται M in marg. corr. s 14 καὶ omis. Be ‖ verba a σώζεται usque ἂν μὴ (15) omis. O 21 ἔστιν N

καὶ τὰ νοητὰ συναγούσης. εἰ γάρ ποτε καὶ ταῖς αἰσθήσεσι χρῆται κἀκεῖθεν αὐτῇ πρὸς τὸ νοεῖν γίνονταί τινες ἀφορμαί, ἀλλ' ἀρχομένη τοῦ πράγματος καὶ οἷον ἀμαθαίνουσα καὶ τὸ λεγόμενον δὴ τοῦτο τὴν πρώτην ἔτι φέρουσα τρίχα, τούτῳ τῷ τρόπῳ τῆς μαθήσεως χρῆται. ὥσπερ οἱ τῷ ψηλαφᾶν τῶν πραγμάτων τυγχάνειν πειρώμενοι, ὅταν ὄψις αὐτοῖς οὐ παρῇ, οὕτω καὶ ψυχὴ ἄρτι διὰ γενέσεως εἰς τὴν ζωὴν παριοῦσα καὶ τὸν ὀφθαλμὸν αὐτῆς πολλῇ τῇ παρὰ τοῦ σώματος ἀχλῦι καλυπτόμενον ἔχουσα καὶ οἷον βαθεῖ κάρῳ κεκρατημένον δεῖται τῶν αἰσθήσεων, αἳ ταύτην ὥσπερ καθεύδουσαν ἀφυπνίζουσιν, ὑφ' ὧν τὴν πρώτην κινηθεῖσα
63 καὶ ἑαυτὴν ἀνεγείρασα οὐκ ἔτι ταῖς αἰσθήσεσιν | ἐν ταῖς τῆς ἀληθείας ζητήσεσι χρῆται. μᾶλλον μὲν οὖν καὶ ταύταις ἐνίοτε τῆς ἀμαθίας ἐπιτιμᾷ, ὅταν τὸ ταύταις φαινόμενον καὶ αὐτῇ συνδοκεῖν ἀναγκάζουσιν. ὥσπερ οἱ τῶν διαγραμμάτων ὅταν ἄρχωνται μανθάνειν δεόμενοι, μετὰ δὲ τὴν ἐπιστήμην εἰς αὐτὰ πάλιν ὑποστρέφειν ἀπαξιοῦντες, οὕτω δὴ καὶ ψυχῇ ἐν σώματι μὲν ἔτ' οὔσῃ οὐδὲν ἀπεικὸς καὶ τὰς αἰσθήσεις περὶ τῶν μαθημάτων ἐπερωτᾶν, λυθείσῃ δὲ αὐτὰ τὰ νοητὰ δι' ἑαυτῶν παρόντα τὴν τῶν αἰσθήσεων χρείαν οὐκ ἀναγκαίαν ποιεῖ, ἅτε φανότατα τῇ ἑαυτῶν ὄντα φύσει καὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν δι' ἑαυτῶν περιλάμποντα, οἷς συνοῦσα τρέφεταί τε καὶ εὐπαθεῖ τὴν αὐτῇ

---

4 Plat. Alcibiad. I 120 B: τὴν ἀνδραποδώδη τρίχα ἔχοντες ἐν τῇ ψυχῇ (unde Method. in Symp. p. 17 et Greg. Nazianz. in Apolog. cfr. A. Jahn Bas. M. plotinizans p. 11) 9 Bas. constit. monastic. prooem. c. 2 (XXXI 1325 A): ἀχλῦι τινὶ . . ἀμαυροῦσθαι τὸν τῆς ψυχῆς ὀφθαλμὸν cfr. 44, 7 23 Phaedr. 247 D: θεωροῦσα τἀληθῆ τρέφεται καὶ εὐπαθεῖ cfr. 28, 3

---

1 αἰσθήσεσιν N 3 ἀμαθαίνουσαν N 7 περῇ wk 8 περιοῦσα B in marg. corr. s, inde wk 10 κάρῳ in marg. s approb. wk, idem testantur nunc A et correctura O, ceteri cod. κάρα 11 καὶ ante καθ. M delevit s 15 ἀναγκάζωσιν sed ω ex correctura P. enuntiatum, quod incipit ab ὥσπερ coniunxerunt editores cum enunt. antec. et post ἀπαξιοῦντες concluserunt 16 πρῶτον post διαγραμμάτων inser. A ‖ ἄρχονται NOV 18 ἔτι N 21 φανερώτατα quod e exhibent, est coniectura s 22 δι' ἑαυτὸν QM, corr. s et O 23 αὐτὴν B corr. s

προσήκουσαν τροφὴν καὶ εὐπάθειαν, ἢ τὰς σωματικὰς ἡδονάς, εἴ τις παραβάλλειν ἐθέλοι, εἴδωλα μᾶλλον ἡδονῶν, ἢ τοῦθ' ὃ καλοῦνται μετ' ἀληθείας ἐρεῖ· αἳ μὲν γὰρ οὐσίαι μὲν οὐδαμῇ, γένεσις δὲ μόνον τὸ ὅλον εἰσίν, τό τε δεχόμενον αὐτὰς ὁ τετρημένος ἐστὶ τοῦ σώματος πίθος πάντοθεν ἐκρέων καὶ μηδὲν δυνάμενος στέγειν.

XVII. Τί τοίνυν τῷ μὴ ὄντι τὸ μὴ ὂν ἂν ἐνθείη; ἢ τί ποτ' ἂν τῶν μὴ μενόντων ἐν τῷ φεύγοντι μείνοι; ἐπὶ δὲ τῆς ψυχῆς καὶ τὰ τῆς ἡδονῆς αἴτια καθαρῶς ὄντα καὶ τὸ ὅλον οὐσία καὶ τὸ δεχόμενον ὑγιὲς καὶ στεγανὸν κἀκείνοις ἐοικὸς καὶ ἀθάνατον. ὥστ' εἰκὸς καὶ τῶν | ἡδομένων τοὺς 64 μὲν τὰς σωματικὰς διώκοντας ἡδονὰς παίζεσθαι μᾶλλον ὑπ' αὐτῶν καὶ ἀεὶ κενοὺς ἐκείνων εὑρίσκεσθαι μηδέποτε δυναμένους κατασχεῖν ὅπερ διώκουσιν, ὡς ἂν αὐτούς τε κατόπιν σκιῶν ἐπειγομένους καὶ τοῦ σώματος, ᾧ ταῦτα πορίζουσιν, ἀπίστου τὴν φύσιν ὄντος καὶ τὸ δοθὲν οὐ κατέχοντος, τοὺς δὲ τὰς τῆς ψυχῆς ἡδονὰς προτιμῶντας ἀεί τινος ὄντος ἐν τῷ ἑαυτῶν ὄντι κορεννυμένους ἀεὶ πεπληρωμένους εἶναι καὶ ὡς ἥδιστα ζῆν· οὕτω ψυχῇ τὰ μετὰ τὸ σῶμα καὶ λυσιτελέστερα καὶ ἡδίω καὶ τὸ ὅλον εἰπεῖν θεῖα καὶ τῆς κρείττονος μοίρας· ὥστε καὶ κατὰ τοὺς πρώτους, οἳ πόθῳ τῶν ἡδονῶν τὸν θάνατον δυσχεραίνουσι, καὶ κατὰ τοὺς δευτέρους,

---

2 Plat. Reip. IX 587D: εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς cfr. 12, 27 3 Phileb. 53C: ἆρα περὶ ἡδονῆς οὐκ ἀκηκόαμεν, ὡς ἀεὶ γένεσίς ἐστιν, οὐσία δὲ οὐκ ἔστι τὸ παράπαν ἡδονῆς 4 Greg. Palam. Prosop. (Migne. CL 1369D): ὁ παρὰ τῇ ἐμῇ ψυχῇ τετρημένος καὶ μηδὲν στέγων πίθος (secundum Plat. Gorg. 493B) cfr. p. 8, 20

---

2 παραυάλλειν V 4 τὸ δὲ pro τό τε O 7 τίς w ‖ ἂν omis. w 8 ποτε ἂν Me ‖ μένοι N μένοι ἢ μεῖναι adscr. marg. s μεῖναι wk 9 κατὰ pro καὶ τὰ NM, corr. in καὶ τὰ Os, inde wk 10 οὐσίαν M corr. s ‖ καμείνοις in text. κειμένοις in marg. s corr. wk 11 ἐοικὼς NOM, ἐοικῶς in text., sed in marg. corr. s ‖ ὥστε N 18 ἑαυτῷ VNM, in marg. ἐν αὐτῷ τῷ ὄντι s inde w, ἐν αὐτῷ τῷ τω ὄντι mendose k ‖ κορενουμένους NOQ κορενομένους M, in marg. κορυννυμ. s, καὶ πληρωμένους pro ἀεὶ πλ. Bs καὶ πληριουμένους w, quod omis. k

οἷς μετὰ τὸν θάνατον οὐδὲν ἔτι δοκεῖ λείπεσθαι, οὐχ ὅπως φύσει προσιόντα τὸν θάνατον φρίττειν οὐκ ἔδει, ἀλλὰ καὶ μέλλοντος δυσχεραίνειν καὶ ἀπόντα καλεῖν, ὡς οὐκ ἐνὸν ἑτέρως ἢ τῶν ἀληθῶν ἡδονῶν ἀπολαύειν ἢ εἶναι καὶ ζῆν ἀσφαλέστερον, ἢ τοῦ θνητοῦ καὶ ἀλόγου καὶ μηδέποτε ὄντος ἀπαλλαγέντας.

Παυσάσθων τοίνυν καὶ οἱ τὰς τοῦ σώματος ἡδονὰς ὀδυρόμενοι καὶ οἱ μηκέτι που ἔσεσθαι μετὰ τὸ σῶμα νομίζοντες. μένει γὰρ αὐτοῖς τὸ βέλτιστον, μᾶλλον δὲ τὸ ὅλον
65 καὶ ὃ μόνον, ἂν σωφρονῶσιν, | εἰσίν, ἐν ᾧ τὸ τῆς θείας εἰκόνος τεθησαύρισται κάλλος ἄφθαρτον ἀπαθὲς ἀρετῆς καὶ φρονήσεως μετέχειν δυνάμενον, ᾧ μία βλάβη σαρκὶ δουλεῦσαι καὶ ταύτῃ συμπλέκεσθαι· τὸ δ' ἀπηλλάχθαι ταύτης ἐπάνοδος πρὸς ζωὴν καὶ τὸ ὂν καὶ τῆς ἱερᾶς ἀληθείας ἀπόλαυσις. ὥστε πῶς οὐκ ἐν βελτίοσιν ἐσόμεθα ὑποχωροῦντος τοῦ σώματος, ὃ τὴν ψυχὴν βρῖθον συνεπισπᾶται καὶ οὐκ ἐᾷ πρὸς τὸν ὑπερουράνιον τόπον κουφίζεσθαι;

XVIII. Ἐπεὶ καὶ χρυσίῳ ταῖς τυχούσαις ὕλαις συμπεφυρμένῳ τί ποτ' ἂν ἦν ἥδιον ἢ βέλτιον, εἴ γε φρόνησις τούτῳ παρῆν, ἢ χωρισθῆναι τῶν αὐτοῦ χειρόνων καὶ τῇ μίξει μὴ συγχωρούντων, ὅσον αὐτῷ κάλλους πρόσεστι, φαίνεσθαι;

---

13. 14. Plat. Reip. VII 521 C: ψυχῆς ... εἰς ἀληθινὴν τοῦ ὄντος ἰούσης ἐπάνοδον. ita ἐπανιέναι quoque Conviv. 211 B usurpatur
17 Phaedr. 249 A: εἰς τοὐρανοῦ τινα τόπον κουφισθεῖσαι, 247 C: τὸν ὑπερουράνιον τόπον (inde Bas. hom. in Psal. XIV c. 1 [XXIX 253 A] τὴν ὑπερουράνιον χώραν) 16 Bas. lib. de virg. c. 10 (XXX 689 A): οὐδὲν γὰρ μᾶλλον ἡ μολιβδὶς τῶν σαρκῶν τὸ τῆς ψυχῆς πτερὸν ἐπὶ τὰ κάτω καθέλκουσα ἢ ἡ τοῦ σώματος ἀσθένεια ... οὐκ ἐᾷ πρὸς τὰ οὐράνια, ὡς θέλει, ἀνίπτασθαι (secundum Plat. Phaedr. 246 D sq.); Phaedr. 247 B: βρίθει cfr. c. XIX extr.

---

2 οὐ ἔδει N 3 οὐ κενὸν B corr. s 5 ἢ post ἀσφαλέστερον eiec. et gravius distinx. wk 8 μηκέτι που wk ex coni. s, μήκετου OMs μὲν μήκετου N μὴ μέκετου Q μηκέτ' A
10 ὃ cfr. 33, 11 καὶ ᾧ A καὶ ὃ ᾧ B, ὃ eiecit s ᾧ w ‖ μόνῳ marg. adscr. s, ἐν ᾧ τὸ τῆς A ἐν τῷ τῆς N ἐν ω τῶ τῆς O τὸ omis. Me 12 ᾧ μηδ' βλάβη marg. μεν O βλάνη V 19 ποτε N ‖ βέλτιον ἢ ἥδιον Be

ὥστ' ἀνόητον ἂν ἦν διὰ τὸν καθαρμὸν ἐκεῖνον ἀλγεῖν, δι' ὃν σαφῶς τελειοῦται καὶ πρὸς τὴν αὐτοῦ φύσιν ἐπάνεισιν. οὕτω καὶ ἡμῖν οὐχ ὅτι τῶν ἡμετέρων καὶ ὧν νῦν ἔχομεν ἡμῶν ἀφαιρεῖται, διὰ τοῦτ' ἀγανακτητέον οὐδὲ ζημίαν ἐκεῖνο φέρειν εὐθὺς ἡμῖν νομιστέον, ἂν μὴ πρὸς κακοῦ ταύτην ἡμῖν τὴν ἀφαίρεσιν δείξωμεν οὖσαν· ἕως δ' ἂν τοῦ χείρονος καὶ τοῦ πρὸς τὴν εἰλικρινῆ ζωὴν ἡμᾶς δυναμένου κωλύειν ἀπαλλαττώμεθα, οὐδεμίαν ἂν ἡμῖν ὁ θάνατος ζημίαν ἐνέγκαι. οὐδὲν γὰρ ἡμῖν φοβερόν, ὃ μὴ | πρότερον τῇ ψυχῇ 66 χαλεπόν, καὶ τὸ εὐδαιμονεῖν ἡμῖν οὐδὲν ἕτερον ἢ τὴν ψυχὴν εὖ ἔχειν ἐστίν. ἡμεῖς γὰρ ἐκείνη καὶ τὰ ἐκείνης ἐσμέν, κἂν ἐκείνη μὴ δέχηται πεῖραν θανάτου, οὐδὲν τὸ κωλῦον καὶ ἡμᾶς ἀθανάτους καὶ εἶναι καὶ λέγεσθαι. τὸ μὲν γὰρ ἐν ἡμῖν θνῆσκον μικρόν τέ ἐστι καὶ οὐχ ὅπερ ἡμεῖς, ἀλλ' ἡμέτερον καὶ οὐκ ἂν δύναιτο τῇ ἑαυτοῦ μεταβολῇ καὶ ἡμῖν θανάτου ψῆφον ἐπενεγκεῖν, ὥσπερ οὐδ' ἄν τις τῷ σώματι τὰς τῶν ἱματίων πονηρίας λογίσαιτο οὐδ' ἂν ἐκείνων ῥηγνυμένων ἢ κατατριβομένων καὶ τοῦ σώματος εἶναι ταῦτα πάθη νομίσειεν. ὅμως εἰ τούτου τοῦ μικροῦ φθειρομένου θνητὸν ἀξιοῖ τις δι' ἐκεῖνο καλεῖσθαι τὸν ἄνθρωπον, πόσῳ δικαιότερον τοῦ μείζονος καὶ τοσοῦτον ὑπερέχοντος τὴν φθορὰν νικῶντος καὶ μένοντος ἄφθαρτον αὐτὸν καὶ ἀπαθῆ διὰ τοῦτο καλεῖσθαι, ὃ μόνον καθαρῶς ἄνθρωπος καὶ ἐν ᾧ μόνῳ τὸ φρονεῖν καὶ λογίζεσθαι, οἷς τῶν λοιπῶν ζώων ἄνθρωπος διακρίνεται; ἢ τοίνυν θνητὴν τὴν ψυχὴν ἀποδείξαντες καὶ μετὰ τοῦ σώματος ἀπιοῦσαν οἱ τὴν τελευτὴν ὅλων ἡμῶν ἀπώλειαν λέγοντες ἔχειν τινὰ λόγον αὐτοῖς καὶ τὸ τοῦ θανάτου δέος οἰέσθωσαν, ἢ ἕως ἂν θεὸς καὶ οἱ ὀρθοὶ

---

14 Bas. hom. in illud: Attende tibi ipsi, c. 3 (XXXI 204 A): *ἡμεῖς μὲν οὖν ἐσμεν ἡ ψυχὴ . . . ἡμέτερον δὲ τὸ σῶμα* (secundum Plat. Axioch. 365 E)

---

1 *ἀλγοῦν* AB, corr. Oe 4 *ἀγανακτέον* AQMs, in marg. NO, in textu *ἀναγκαῖον* N *ἀνάγκη* O 9 *φουερόν* V 13 *λέγειν* pro *λέγεσθαι* N 14 *ἐστιν* N 15 *ἑαυτοῦ* A *αὐτοῦ* Be 21 *καὶ* post *ὑπερέχοντος* inser. s, inde wk 23 *οὐ μόνον* perperam k ‖ *καθαρῶς* A in marg. w, *καθαρὸς* Be

67 λογισμοὶ καὶ φιλοσοφία καὶ τὰ καθ' ἡμέραν | περὶ αὐτὴν
φαινόμενα κρείττω φθορᾶς εἶναι τὴν ἐκείνης οὐσίαν ἀποδεικνύωσιν, ἀναθαρρούντων καὶ μὴ πρὸς τὸ χρεών, ὥσπερ εἴς τι βάραθρον, ὅθεν οὐκ ἔστιν ἀνάδυσις, ἐμπεσούμενοι διακείσθων.

XIX. Καίτοι εἰ καὶ παντελῶς ἀφανίζεσθαι τὸν ἄνθρωπον συνέβαινεν ἀποθνήσκοντα, οὐδ' οὕτως ἐχρῆν τῇ τοῦ θανάτου μνήμῃ τρίβεσθαι ἐνθυμουμένους, ὅσων τῶν παρὰ τοῦ σώματος ἀηδῶν ὁ βίος ἐμπέπλησται καὶ ὡς κουφότερον ἀναισθήτως ἔχειν πρὸς πάντα ἢ τοσούτου καθ' ἡμέραν ἡμῖν παρὰ τοῦ σώματος ἐγειρομένου χειμῶνος ἀνέχεσθαι, ὃν μήτε πραΰνειν δυνατὸν τῇ ψυχῇ μήτε φέρειν τῆς συμπήξεως ἡμῶν ἐπ' ἐκείνην τὰ τούτου παθήματα διαβιβαζούσης. τοῦτο γὰρ τῇ ψυχῇ, μέχρις ἂν τῇ γενέσει δουλεύῃ, πάσχειν ἀνάγκη καὶ πολλὰ τῶν τοῦ σώματος ἄκουσαν εἰς ἑαυτὴν παραδέχεσθαι, ὡς ἂν μὴ παντελῶς κρατοῦσαν αὐτοῦ. ὥστ' ἀναγκαῖον ἀπέραντα πονεῖν ἡμᾶς ἀμύνοντας τῷ μηδέποτ' ἐκτὸς ἑστῶτι πολέμου νῦν μὲν τὸν λιμὸν αὐτῷ παραμυθουμένους, ἄλλοτε δὲ τὴν δίψαν σβεννύντας καὶ ποτὲ μὲν αὐτῷ προβλήματα πρὸς ψῦχος κατασκευάζοντας, ποτὲ δὲ πρὸς καῦμα μηχανωμένους αὐτῷ καταδύσεις. καὶ σιωπῶ τὰς ὑπὲρ τοῦ πορισμοῦ
68 τούτων κατά τε γῆν | καὶ θάλατταν ἀποδημίας καὶ τὰς ὑπὲρ
ὀβολοῦ πολλάκις καταράτοις ἀνθρώποις προσαγομένας θωπείας τε καὶ δουλοπρεπείας· ὃ τίνος οὐ βαρύτερον βρόχου ἀνθρώπῳ καὶ κατὰ μικρὸν ἑαυτοῦ ᾐσθημένῳ καὶ θεωροῦντι, ἀφ' οἵου ἀληθείας καὶ ἀρετῆς ὕψους εἰς οἵαν καππίπτειν βωμολοχίαν καὶ εὐτέλειαν ἀναγκάζεται; τί δ' ἂν εἴποι τις τὰς ἐν ταῖς παντοδαποῖς νόσοις ὀδύνας καὶ τὸ πολλάκις

---

2 φαινόμεναι NOM corr. Os ‖ τὴν omis. Me 4 νάραθρον V ‖ ἐμποιούμενοι B, in marg. recte ἐμπεσούμενοι s, inde wk 7 οὐδὲ Me 8 τρίβεσθαι Be συντρίβεσθαι A τρύχεσθαι ἢ ταράττεσθαι in marg. s τρύχεσθαι in marg. w 10—11 ἐχειρομένου χειμῶνος (cetera omis.) N 12 πραΰνειν AQ πραύειν NOM πραΰνειν ἢ ὑπερβαίνειν ἢ θραύειν in marg. s, πραΰνειν recte wk 14 δουλεύει NMs δουλέΒη V 15 ἄκουσα M corr. s 16 ὥστε N 18 λοιμὸν N ‖ ἄλλοτε καὶ Me 20 δὲ omis. Be 26 καπίπτειν B καταπίπτειν Ae 28 παντοδαποῖς omnes codices παντοδαπαῖς e

μὲν οὕτω τὸ σῶμα διαβιβρώσκεσθαι, ὡς μόλις τοῦ πάλαι ποτ᾽ ἀνθρώπου ἄθλιον λείπεσθαι λείψανον; ὥστε μηδ᾽ ἔχειν τοὺς ταλαιπώρους οὐ μόνον ὅ,τι τῷ λοιπῷ χρήσονται, ἀλλ᾽ οὐδ᾽ οἷς ἀντὶ τῶν ἀπολωλότων αὐτοῖς μερῶν τοῦ σώματος χρήσονται, μηδ᾽ ἀφ᾽ ὧν γοῦν παραμυθίας ἀκούσονται, πάντων τοὺς ἰχῶρας καὶ τὴν σῆψιν καὶ τὴν ἐκεῖθεν ἀηδίαν φευγόντων, ὃ καὶ τῶν ὀδυνῶν τούτοις ὀδυνηρότερον, ὡς ἂν πολλάκις αὐτοὺς τῇ τῆς ὀδύνης δριμύτητι εἰς βρόχων ἢ κρημνῶν ἢ ξίφους ἐπιθυμίαν ἐλθεῖν ἀναγκάσαι. εἰ δὲ δὴ καὶ δοίημεν μηδεμίαν ἀπὸ τοῦ σώματος ταραχὴν συμβαίνειν τῇ ψυχῇ, ὃ γενόμενον τῶν παραδόξων ἂν νομισθείη, τίς ἂν ἀρκέσειε διηγούμενος τὸν ἐν νεότητι καὶ ὑγείᾳ παρὰ τῶν σωμάτων ταῖς ψυχαῖς ἐγειρόμενον σάλον; | ἀτεχνῶς γὰρ 69 οὐδ᾽ ἄνθρωποι τότε συγχωροῦνται εἶναι οἱ ἄνθρωποι, ὥσπερ ὑπό τινων κυμάτων τοῦ τῆς διανοίας κλύδωνος εἰς τὴν τῶν ἀλόγων ἐξωθούμενοι φύσιν. τὸ γὰρ ἀνδραποδῶδες τῆς ψυχῆς καὶ δουλεύειν ὀφεῖλον τῷ λόγῳ καιροῦ λαμβανόμενον καὶ διὰ κόρον ὑβρίζον στασιάζει μὲν πρὸς τὸν νοῦν καὶ ὑπακούειν οὐκ ἔτ᾽ ἀνέχεται· ἁρπάσαν δὲ τὴν ψυχὴν τοὺς μὲν σώφρονας τῶν λογισμῶν καὶ κοσμίους φυγαῖς καὶ ἀτιμίαις κολάζει, δι᾽ ἑαυτοῦ δὲ ποιησάμενον τὴν ἡγεμονίαν, ἐφ᾽ ὅ,τι ἂν τύχοι, φέρεται ἀρετῆς μὲν πάσης ὡς ἀδυναμίας

10 Phaed. 66 A: τοῦ σώματος ὡς ταράττοντος τὴν ψυχὴν 13 Bas. hom. in psalm. LXI c. 2 (XXIX 473 A): τὸν ἐγγινόμενον ταῖς ψυχαῖς ἡμῶν σάλον 18 Plat. Reip. IV 440 B: ὥσπερ δυοῖν στασιαζόντων 21 sq. Bas. de hom. struct. orat. 2 c. 24 (XXX 37 A): ἆρ᾽ οὐ παντὸς ἀθλιώτερος, ὅτι ἄρχει μᾶλλόν σου ὁ θυμὸς τὸν λογισμὸν παρωσάμενος καὶ τὴν δυναστείαν παραλαβὼν ἄγει σε, ὅπου τύχοι

4 οὐδεὶς M corr. s 7 ὥστ᾽ pro ὡς proposuit s ὥστ᾽ ὡς inepte receperunt wk 8 ἡδονῆς s, λύπης in textu ὀδύνης in adnot. w, inde ὀδύνης recte k 9 χρημῶν M corr. s ‖ δὴ coni. wk, quod testatur A, μὴ Bs 12 ὑγείᾳ A cfr. Hatzidakis Neugr. Gr. p. 308, ὑγία B ὑγιείᾳ e 14 οὐδὲ O 17 λαμβανόμενον AN λαβόμενον QOMe 18 ὑυρίζον V 19 ἔτι N ‖ ἀρχὴν P pro ψυχήν, quod propter seq. ἡγεμονίαν reicio

καταφρονοῦν, μόνην δὲ ἀνδρίαν τὴν κακίαν οἰόμενον, καὶ λοιπὸν συνεχεῖ μέθῃ καὶ ἀκολασίᾳ καὶ πάσῃ παρανομίᾳ τὸν ἄνθρωπον παραδίδωσι πλὴν ὀνόματος μηδὲν ἄλλο συγχωροῦν αὐτῷ τοῦ προτέρου φέρεσθαι σχήματος. οὕτως οὐχ ἧττον ἐν ταῖς ἡδοναῖς ἢ ταῖς ἀηδίαις τὴν ψυχὴν ἀλγύνει τὸ σῶμα, μᾶλλον δ' αὐτῇ παρὰ τῆς ἀνέσεως μείζων ἡ βλάβη, ἐπεὶ καὶ ἡνίοχος χεῖρον ἂν πάθοι διὰ κακὴν τροφὴν καὶ κόρον σφριγώντων αὐτῷ καὶ πηδώντων ἀτάκτως τῶν ἵππων ἢ δι' ἀτροφίαν καὶ ἀσθένειαν ἡσυχῇ προϊόντων.

XX. *Πρὸς μὲν οὖν τοὺς οἰομένους μηδὲν τοῖς ἀνθρώ-
70 ποις μετὰ τὸν θάνατον λείπεσθαι, ἀλλὰ παντάπασιν | ἀπόλλυσθαι καὶ διὰ τοῦτ' αὐτὸν χείριστον τῶν ἀνθρώποις συμβαινόντων νομίζοντας τοσαῦτα ἡμῖν εἰρήσθω. ἱκανὰ δοκῶ μοι τοὺς μὴ παντάπασι βραδεῖς καταπεῖσαι, ὡς ἔστι καὶ παρὰ τοῦτον τὸν βίον ἄλλοθι ζῆν τῷ μεγίστῳ τῶν ἐν ἡμῖν καὶ θειοτάτῳ καὶ σωζομένους καὶ ὄντας. καίτοι τὰς μεγίστας τῶν ἀποδείξεων καὶ ἰσχυροτάτας παρῆκα, δι' ὧν ἦν καὶ τοὺς θείους χρησμοὺς τοῖς νῦν λεγομένοις δεῖξαι συμφθεγγομένους, οἳ τὰ μετὰ τὸν παρόντα βίον, ὅσον οὐδ' ἔστιν εἰπεῖν, ἡδίω καὶ προσηνέστερα τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν προλέγουσιν ἔσεσθαι, εἰ μὴ τοῖς ἁπλουστέροις μᾶλλον καὶ ταῖς αἰσθήσεσιν προχειροτέροις ἐβουλήθην πρὸς τὴν διάλεξιν χρήσασθαι.*

*Λοιπὸν* τοίνυν καὶ πρὸς τοὺς τρίτους εἰπεῖν τι καὶ δεῖξαι μηδὲ τοὺς ἐκείνων λογισμοὺς παραλόγου δειλίας ἀπηλλαγμένους. εἶναι μὲν οὖν ἐν ᾅδου τίσιν τῶν ἐνταῦθ'

---

7 Bas. lib. de virg. c. 8 (Mig. XXX 685 A): οὐ δεῖ ταῖς πολλαῖς τροφαῖς τοῦτον πιαίνοντα ταῖς τῶν σκιρτημάτων αὐτοῦ ἀταξίαις κακοπαθεῖν τὸν ἡνίοχον conf. c. III extr. Phaedr. 247 B: βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων ... ὅταν μὴ καλῶς ᾖ τεθραμμένος ὑπὸ τῶν ἡνιόχων cfr. c. XVII extr. 8 Leg. 672 C: ἀτάκτως πηδᾷ

---

3 παραδίδωσιν N 6 δὲ NO 12 ἀνθρώπων s ἀνθρώπῳ wk 13 post εἰρήσθω explicit N cum subscr. τέλος τοῦ λόγου σοφωτάτου νεμεσίου cfr. praef. p. VI ‖ ἱκανὰ δὲ δοκεῖ μοὶ e ex coniect. s 17 ἰσχυρότατα M corr. s 18 νῦν omis. Me 18—19 συμφεγγομένους QOM φθεγγομένους ἢ συμφερ. in marg. s, συμφθεγγομένους wk 21 εἰ μὲ QM corr. Os 24 παραλόγης coniec. s 25 ἀπαλαγμένους sed corr. O ‖ ἐνταῦθα Me

ἁμαρτανομένων καὶ τῆς νῦν τῶν ἡδονῶν ἀμετρίας ἀηδῶν ἐκεῖ πολλῶν ἀντιδίδοσθαι πεῖραν. οὐχ ἡ τῶν σοφῶν πάντων ὁμολογία μόνον ἐρρῶσθαι τὴν δόξαν ταύτην παρίστησιν, ἀλλὰ καὶ ἡ τῆς θείας δικαιοσύνης ἰσότης, ἣ πάντες καὶ οἱ ἀναισχυντότατοι συγχωροῦσιν ἀκίνητον ἐν ταῖς ψυχαῖς τὸ δόγμα τοῦτο τηρεῖν, ἀναγκάζει. τῷ γὰρ ἀγαθῷ καὶ τελειοτάτῳ | θεῷ ἐνδεῖν τι τῶν ἀγαθῶν οὐχ ὅσιον οἴεσθαι. ἀγαθὸν 71 δὲ ἡ δικαιοσύνη πᾶσι μέν, μάλιστα δὲ τοῖς ἄρχειν λαχοῦσιν, ἧς ἄνευ πολλῆς ἂν τὴν ἀρχὴν ἐμπλήσαιεν πλημμελείας· μάλιστα δὲ ἄρχει θεὸς καὶ τὴν μεγίστην καὶ τελεωτάτην ἀρχήν, ὅτι μηδ' ἔχει τὸν πρὸ αὐτοῦ οὐδ' ἔστιν οὗ δεῖται, ἵν' ἡ χρεία καὶ πρὸς δουλείαν αὐτὸν ἑλκύσειεν ἐν τῷ μέρει. πάντων τοίνυν αὐτὸς προκαθήμενος καὶ τῶν ἀνθρωπίνων ἔργων ἐπίσκοπος ὢν πάρεδρον ἐξ ἀνάγκης αὐτῷ τὴν δικαιοσύνην ποιήσεται, ἣ τῶν μὲν ἀγαθῶν ἀμοιβάς, τιμωρίας δὲ τῶν κακῶν ὁριεῖ, ὃ μόνης ἔργον δικαιοσύνης. εἰ τοίνυν ἀγαθὸς ὁ θεός, ἀνάγκη τοῖς μὲν ἀγαθοῖς τῶν ἀνδρῶν στεφάνους, τιμωρίας δὲ τοῖς πονηροῖς ἡτοιμάσθαι, κἂν εἰ μὴ ταύτας ἐνταῦθα τίσαιεν, ἀνάγκη τούτοις μετὰ τὴν τελευτὴν ἐκείνας τηρεῖσθαι. τὴν γὰρ δικαιοσύνην τὸ κατ' ἀξίαν παρελθεῖν οὐχ οἷόν τε.

XXI. Οὐ μήν, εἰ τοῦτ' ἀληθές, ἤδη καὶ τὸν θάνατον ἐν τοῖς κακίστοις τακτέον. εἰ μὲν γὰρ τῶν μετὰ τοῦτον ἀηδῶν οὗτος αἴτιος ἦν, εἰκότως ἄν τις αὐτὸν ἐδυσχέραινεν, ὡς δι' αὐτὸν ἄθλιος καὶ κακοδαίμων ἐσόμενος· εἰ δὲ μετὰ τὴν τελευτὴν οἱ μὲν ἐπὶ στεφάνους τρέχουσιν, οἱ δ' ἐπὶ βασάνους ὠθοῦνται, | τί τό γε συμβαῖνον λογιζώμεθα τῷ 72 θανάτῳ; μᾶλλον μὲν οὖν τῶν προσδοκωμένων ἕνεκα τὸν

---

1 μετρίας QM corr. s et O 6 ἀναγκάζειν V ἀναγκάζουσα in textu ἀναγκαζόμενοι in adnotat. w, inde k, inepte 8 λαχοῦσι A 17 ἀνάγκης μὲν M ἀνάγκη τοῖς in marg. s, inde wk 19 ἀνάγκην QM corr. s 23 τακτέον codices omnes. miro modo in textu s habet θετέον in marg. τακτέον, ut locos commutatos inter se esse censeam. inde wk τακτέον ut coniecturam Seileri repudiantes, θετέον ut genuinam lectionem retinent ‖ τουτο Be 27 λογιζόμεθα A 28 δὲ pro μὲν M corr. s in marg. 28 προσδοκώμενον B, in marg. corr. sw

βίον ἔδει κακίζειν, οὐ γὰρ τῶν ἀποθνησκόντων, ἀλλὰ τῶν κακῶς βεβιωμένων αἱ τιμωρίαι. ὥστ᾽ εἰ ταύτας ἀποστρέφεσθαι δεῖ, δικαιότερον ἂν ἐπὶ τὴν ζωὴν ἀπὸ τοῦ θανάτου τὸ μῖσος μετάγοιμεν, ἀφ᾽ ἧς τὰ κακὰ προσγίνεται ταῖς ψυχαῖς, ὧν ἀπαιτούμεθα δίκας· ὁ δὲ θάνατος ἀνεύθυνος παντελῶς, ὅτι μηδ᾽ αἴτιος τῶν μετέπειτα φοβερῶν. εἰ δὲ τούτῳ τὰ μετ᾽ αὐτὸν δυσχερῆ λογιούμεθα, διὰ τί μὴ καὶ τὰς τῶν δικαίων ἀμοιβὰς ἐπὶ τοῦτον ἀνοίσομεν; αἱ γὰρ ἀπολαύσεις μετὰ τοῦτον τοῖς ἀγαθοῖς, ὥστ᾽ ἀπὸ τῶν ἑπομένων οὐ μᾶλλον κακὸν ἢ ἀγαθὸν ἔξεστιν αὐτὸν προσειπεῖν. μᾶλλον μὲν οὖν, ἂν τἀληθῆ σκοπῶμεν, τῆς τοῦ ἀγαθοῦ μοίρας εὑρήσομεν ὄντα. ἐπὶ γὰρ τὰ τῆς ἀρετῆς ἆθλα παραπέμπων τοὺς δικαίως βεβιωκότας τοῖς πονηροῖς τῆς κακίας γίνεται τέλος, ἣ τοῖς νοῦν ἔχουσιν πάσης ἀλγεινότερον τιμωρίας.

XXII. *Οὐ τοίνυν τὸν θάνατον τῶν ἀπειλουμένων αἰτιατέον, ἀλλ᾽ ἡμᾶς αὐτοὺς καὶ τὴν τῶν ἡδονῶν δουλείαν, ὑφ᾽ ὧν τὰς ψυχὰς λωβηθέντες φοβερὸν ἡμῖν αὐτοῖς τὸ δικαστήριον ἐκεῖνο ποιοῦμεν· ὡς εἰ ταύτας ἐφυλαττόμεθα, οὐδὲν ἂν ἦν τὸ κωλῦον καὶ εὐεργέτην τὸν θάνατον | 73 οἴεσθαι θᾶττον ἡμᾶς ἐπὶ τὰς τῶν ἀγαθῶν ἀμοιβὰς παραπέμποντα. οὐ τοίνυν παρὰ τοῦ θανάτου τὸ δέος, παρὰ δὲ τοῦ συνειδότος ὁ τρόμος, ὅπερ συμβαίνει τοῖς τῶν δεινοτάτων ἁλοῦσι. κἀκεῖνοι γὰρ τὴν παρὰ τῶν νόμων φρίττουσι προθεσμίαν καὶ προσιούσης αἰσθανόμενοι ἀποπνίγονται δέον αὑτούς, ὧν ἐτόλμησαν, ἄγχειν. „πέμπτη“, φασί, „τετρὰς τρίτη, εἶθ᾽ ἣν*

---

26 Aristoph. Nub. v. 1134 sq.:
*πέμπτη τετρὰς τρίτη μετὰ ταύτην δευτέρα*
*εἶθ᾽ ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν*
*δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι*

---

2 ὥστε Me 14 ἔχουσι O 19 ὥστε pro ὡς e ex coniectura s 25 αὑτούς V αὐτούς ceteri codd. et edit. 26 ἄγχειν egregiam lectionem P solus servavit. ceteri codices ἄρχειν, de quo omnes editores desperabant. sententia autem enuntiati elicienda est ex simili p. 41, 2. de verbo ἄγχειν ad animum translato agit Creuzer in progr. Heidelb. a. 1806, de phil. vet. locis de prov. div. p. 28 sq.

ἐγὼ μάλιστα πασῶν ἡμερῶν δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι“. σχέτλιε, καὶ τίς ἡ τῆς ἡμέρας κακία, δι' ἣν οὕτω ταύτην βδελύττῃ, ἐν ᾗ πολλοὶ θύουσι καὶ σπένδουσιν ἐπινίκια καὶ στεφανοῦνται καὶ λαμβάνουσιν ἀριστεῖα; σὺ δ' ἀκολασίαν ἀσκήσας ὥσπερ οἱ ῥητὴν παρὰ τῶν νόμων προσδεχόμενοι δέδοικας. καίτοι ἐκείνοις μὲν οὐκ ἔστιν ἀποφυγεῖν ἅπαξ κατεγνωσμένοις, ἡμῖν δὲ ἡ μετάνοια καὶ τὸ τῶν πεπραγμένων ἡμῖν αὐτοῖς ἐπιτιμήσαντας πρὸς τὸ σωφρονέστερον διαθεῖναι τὸν βίον τὴν σκυθρωπὴν λύει ψῆφον καὶ δίδωσι περὶ τῶν χρηστοτέρων ἐλπίζειν. εἰ τοίνυν τούτοις τὰ μετὰ τὸν θάνατον αἴτιον πρὸς ἀλήθειαν τοῦ δεδοικέναι τὸν θάνατον, ἡ τοῦ βίου διόρθωσις τὸ δέος παραμυθείσθω. ἐκείνη ἐφ' ἡμῖν καὶ βουληθῆναι δεῖ μόνον καὶ οὕτως ὁ μὲν φόβος οἰχήσεται, θαυμαστὴ δέ τις γαλήνη ταῖς ψυχαῖς | ἀντὶ 74
τοῦ πρὶν χειμῶνος ἀντεισαχθήσεται. ὥστε τί δεῖ κλάειν μόνον οὐκ ἐν χεροῖν τὴν τῶν δεινῶν λύσιν ἔχοντας; εἰ δέ τις δυσχερῆ τὸν μετ' ἀρετῆς βίον ἡγεῖται καὶ τὴν ἐπὶ τοῦτον ἀπὸ τῶν ἡδονῶν ἀναχώρησιν οὐ παντὸς ἀνδρὸς ἔργον εἶναι νομίζει, ἔκλυσίν τινα καὶ μαλακίαν ψυχῆς τοῦ δέους τούτου δῆλός ἐστιν αἰτιώμενος. τοῖς γὰρ βουλομένοις σπουδάζειν ἀδεᾶ πάντα ἔσεσθαι καὶ αὐτὸς δήπουθεν συνομολογήσει. οὐ παρὰ τοῦ πράγματος τοίνυν ὁ φόβος, ἀλλὰ παρὰ τῆς τῶν μὴ βουλομένων ἑαυτοὺς παιδεύειν ἀβελτηρίας· ὥσπερ ἂν εἴ τις ἀποστερητὴς ἑλκόμενος ἐπὶ δικαστήριον, ἀφεὶς τὴν ὀφειλὴν διαλύσασθαι ἢ καὶ παρὰ τὸν δικαστὴν

---

2 cfr. Bas. hom. in Psalm. 48 c. 2 (XXIX 436 D): *ἵνα τί φοβοῦμαι ἐν ἡμέρα πονηρᾶ* (= Psalm. 48, 6) *πονηρὰν ἡμέραν τὴν τῆς κρίσεως λέγει* 14 Bas. hom. in illud: Attende tibi ipsi c. 7 (XXXI 213 C): *εὐθὺς οἰχήσονται φυγαδευθεῖσαι αἱ ἡδοναὶ καὶ θαυμαστή τις ἔνδον γαλήνη περὶ τὴν ψυχὴν καὶ ἡσυχία γενήσεται*

---

7 artic. ἡ omis. O 11 *τὸν* omis. Be 15 *κλάειν* optime soli A, corrupt. in *καὶ λεύειν* Q idem sed in marg. *λέγειν* O *κελεύειν* M, in marg. *κωκύειν* ἢ *καὶ λέγειν* s, inde *καὶ λέγειν* wk 17 *μετὰ ῥεπῆς* M, corr. s et O 20 *δειλος* B corr. s 22—23 *παρὰ τῆς . . ἀβελτηρίας* correxit k, *παρὰ τὴν . . ἀβελτηρίαν* codices omnes

δραμὼν ἱκετεύειν, ὁ δὲ τὴν μὲν ἐπὶ τοῦτον ὁδὸν ὡς μακρὰν αἰτιῷτο, τῶν δὲ κακῶς ἀφαιρεθέντων βούλοιτο καθήμενος ἀπολαύειν, ἔπειτα τῶν κατεγνωκότων ἢ καί τινων ἄλλων μὴ προσηκόντων κατηγοροίη. ἀνόητε, ἀπόδος, ὃ παρὰ τοὺς νόμους κατέχεις καὶ τῶν δικαστῶν φίλων ἀντὶ κολαστῶν πειραθήσῃ· ἕως δ' ἂν φιλονεικῇς, σαυτῷ τὴν αἰτίαν, ὧν πείσῃ, λογίζου.

XXIII. Οὕτως ἡμῖν ἀντὶ τῶν τρίτων οἱ πρῶτοι καὶ νῦν ἐπανίασιν ἄνδρες οἱ τῶν ἡδονῶν εἵνεκα καὶ τῆς τούτων
75 ἀπολαύσεως τὸν θάνατον | φρίττοντες· οὐδὲν γὰρ ἕτερον ἢ τὰς ἡδονὰς καὶ τούτους αἰτιωμένους εὑρίσκομεν. ὑπὸ γὰρ τοῦ σφόδρα ταύταις συμπεφυκέναι οὐκ ἀνεκτὸν ἡγοῦνται πᾶν, ὃ τὴν ἡδυπάθειαν ἵστησι. τοσοῦτον δὲ τῶν προτέρων ἔχουσι πλέον, ὅσον εὐλαβείας τινὸς σχήματι περιστέλλουσι τὴν ἀκολασίαν. οὓς οὐ χαλεπὸν ἐξελέγχειν, οἷς λέγουσι, ῥᾳδίως ἁλισκομένους. εἰ γάρ, ὦ τάν, ἡ τῶν κολάσεων ὑποψία φοβερὸν ἐργάζεταί σοι τὸν θάνατον, τί μὴ πρὸς ὀλίγον τὰς ἡδονὰς ἔξω ῥίψας οὕτω πιέζοντος ἄχθους τὴν ψυχὴν ἀπαλλάττεις καὶ ἡδονῶν ἡδονὰς ἀνταλλάττῃ τῶν ἐπικινδύνων τὰς ἀσφαλεῖς καὶ τῶν μικρῶν τὰς μεγίστας καὶ τῶν προσκαίρων τὰς αἰωνίους; ἐκείναις μὲν γὰρ δουλεύων καὶ τὸν παρόντα βίον μεστὸν ἀηδίας ἀνύσεις τρέμων ἀεὶ τὴν δίκην καὶ δεδιὼς καὶ ταύτῃ μηδεμίαν αἴσθησιν λαμβάνων τῶν λεγομένων ἡδονῶν κἀν τῷ μέλλοντι τῶν νῦν προσδοκωμένων ἡ πεῖρά σε καταλήψεται. ἂν δὲ μικρὸν ἀνανήψῃς καὶ τοῦ σώφρονος ἅψῃ βίου, κἀν τῷ μέλλοντι μετ' εὐφροσύνης διάξεις οὐ τῶν δυσχερῶν μόνον ἐκποδὼν
76 γενομένων, ἀλλὰ καὶ τῶν ἀγαθῶν | πάντων μετ' ἀφθονίας σοι παραγενομένων. ἀλλ' ὡς ἔοικε, τοῦ παραυτίκα ἡδέος γευόμενος τῆς ἐλευθερίας ἐπιλανθάνῃ καὶ συνεχεῖ τρόμῳ

---

4 προσηκόντως e ex coniect. s 13 τρόπων pro προτέρων V 14 εὐλαβίας O Q εὐλαβίης M corr. s 19 ἀνταλλάττῃ A Q O ἀπαλλάττῃ bis posuit M ἀντικαταλλάττῃ in marg. s, inde w k 21 προκαίρων M corr. s ‖ γὰρ omis. V 24 ἡδέων pro ἡδονῶν A 26 βίον Q M corr. s 27 διόξεις Q M corr. s ‖ ἐμποδὼν B corr. s 28 εὐφθονίας B corr. s (εὐ et ἀ inter se commixta ut 2, 23) 30 γευόμενος ex coni. scripsi γενόμενος codd. et edit. ‖ ἐπιλανθάνῃ A Q O ἐπιλανθάνει M e

συζῆν ἀνέχῃ· βουλόμενος δὲ τῶν ὀνειδῶν ἀπαλλάττειν σαυτὸν τῷ θανάτῳ λογίζῃ τὸ δέος δέον σαυτὸν ἐπὶ τῇ τῶν αἰσχίστων ἥττῃ κρημνίζειν. — συμπεραίνουσι τοίνυν δύο ταυτὶ φαίνεται αἴτια τοῦ τὸν θάνατον δεδιέναι· ἢ γὰρ ἀμαθίᾳ τινὶ τοῦτο συμβαίνει μηδὲν εἶναι παρὰ τὸ σῶμα τῶν ἀνθρώπων ἑαυτοὺς οἰομένων, ἤ, εἴ τι καὶ παρὰ τοῦτ᾽ ἐστὶν ἐν αὐτοῖς, τῷ σώματι τοῦτο καὶ συνεῖναι καὶ συναπόλλυσθαι. καὶ διὰ τοῦτο τῆς τελευτῆς προσιούσης ταράττονται, ὡς ἂν οὐδενὸς αὐτοῖς μετὰ τὸν θάνατον ὄντος λοιποῦ, οἳ ταῖς ἡδοναῖς ἑαυτοὺς παραδόντες ἀλγοῦσι τούτων χωρίζεσθαι μέλλοντες, οὐδεμίαν ἄλλην ἄλλοθι τῶν τῆς σαρκὸς ἡδονῶν ἡδίω καὶ καθαρωτέραν εὑρήσειν ἐλπίζοντες. ὥστ᾽ εἰκότως δακρύοντες χωροῦσι πρὸς τὸ χρεών, ὡς ἂν αὐτοῖς παντάπασι τοῦ ἀγαθοῦ καὶ τοῦ τέλους ἀπολλυμένου.

XXIV. *Τούτοιν* δὲ τοῖν δυοῖν ὑπ᾽ ἀλλήλων ἡ γένεσις. ἡ μὲν γὰρ τῶν ἡδονῶν δουλεία τὴν ψυχὴν τῷ σώματι παντελῶς ἀναμίξασα οὐ συγχωρεῖ ταύτην εἰλικρινῶς ἑαυτὴν κατιδεῖν, ἀλλ᾽ ἀεὶ τῷ μίγματι συντυγχάνων ὁ ἄνθρωπος | καὶ 77
ὅλης δι᾽ ὅλου τοῦ σώματος συμπεφυρμένης τῆς ψυχῆς αἰσθανόμενος, ὥσπερ πολλῷ τῷ τῶν ἀτιμοτέρων μετάλλων γένει χρυσίον ὀλίγον καὶ δι᾽ ἐπιστήμης ἔνδειαν μεταλλευτοῦ φαύλου δίκην ἀλλήλων οὐ δυνάμενος ταῦτα χωρίζειν, τῷ

---

16. 19 Bas. hom. in Psalm. VII c. 3 (XXIX 236 A): τοῦ ... κατὰ σάρκα ζῶντος συμπεφυρμένου ταῖς τοῦ σώματος ἡδοναῖς ἡ ψυχὴ οἷον ἐν βορβόρῳ τοῖς πάθεσι τῆς σαρκὸς ἐγκεκύλισται (sec. Plat. Phaed. 83 D: ἑκάστη ἡδονὴ . . προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα) 17 Bas. de hom. struct. orat. I c. 1 (XXX 12 A): ὁ νοῦς ὁ ἡμέτερος ἄλλα ὁρῶν, ἄλλως ἑαυτὸν οὐ βλέπει (simile Cic. Tusc. I 67 animus se non videns alia cernit) 19 cfr. c. XVIII in.

---

3 κακίζειν pro κρημνίζειν in marg. s w ‖ συμπαραίνουσι V 6 ὃ pro ἢ OM corr. in marg. O et s 9 οἳ PQ οἱ VOMs, καὶ ante ἀλγοῦσι inseri vult s, substituerunt autem καὶ pro οἱ wk 12 εὑρήσμειν M εὑρίσκειν typis exprimendum curavit εὑρήσειν marg. adscr. s 17 ἑαυτὴν ex corr. s ἑαυτὸν codices 21 χρυσίον ὀλίγον AQO χρυσίον ὀλίγον M ὀλίγον in marg. s χρυσίου ὀλίγου wk

φαινομένῳ προστίθεται καί φησιν ἄνθρωπον εἶναι τὸν δυνάμενον ὅσον πλεῖστον ἡδονῶν ἐμφορεῖσθαι, τοῦτο μόνον ὅ,τι φάγοι καὶ πίοι καὶ λαγνεύσειε κέρδος ἡγούμενος, ὃ Σαρδανάπαλον ἐπιγράψαι τῷ μνήματι λέγεται, τοῦτ' αὐτὸς ἀνεξάλειπτον ἐγγράφων ἐν τῇ ψυχῇ· ὅπερ οὐκ ἂν ἔπαθεν, ἐγκρατείᾳ κολάζων τὰς ἡδονὰς καὶ κέρδος ἀλλὰ μὴ ζημίαν ἡγούμενος, εἴ τι τούτων ἀφέλοι. οὕτω γὰρ αὐτὸν κατὰ μικρὸν λύων τοῦ σώματος καὶ ἑαυτὸν συνεθιζόμενος βλέπειν οὐκ ἂν ἠγνόησεν ἑαυτόν, ἀλλὰ τῆς ἀληθείας καὶ τῶν ἀσωμάτων γινόμενος θεωρὸς καὶ κατανοῶν, ὡς οὐδὲν αὐτῷ τὸ σῶμα πρὸς τὴν θεωρίαν ἐκείνην λυσιτελεῖ, εὕρισκεν ἂν ἐνταῦθα τὴν ἑαυτοῦ ψυχὴν ἀπηλλαγμένην τοῦ σώματος καὶ καθ' ἑαυτὴν εἶναι δυναμένην καὶ πρὸ θανάτου καὶ τοσοῦτον μᾶλλον καλλίω καὶ ἐρρωμενεστέραν, ὅσον ἧττον μετεῖχε τοῦ σώματος.

XXV. Καὶ οὕτω τῇ τοιαύτῃ καταστάσει συνεθιζόμενος
78 οὐκ ἂν ἤλγει διισταμένων | αὐτῷ τῶν μερῶν οὐδ' ἂν ἐδεδίει περὶ ἑαυτοῦ πεπεισμένος μενεῖν αὐτῷ τὴν ψυχήν, ἐξ ὧν ἐπεπείρατο. οὕτως καὶ αἱ ἡδοναὶ τὴν ψυχὴν ἀναμιγνῦσαι τῷ σώματι τὴν αὐτῆς αἴσθησιν ἀφαιροῦνται καὶ δειλίας ἐμπιπλῶσι καὶ ἀμαθίας· διὰ ταύτην δ' αὖθις τὴν ἄγνοιαν μᾶλλον ταῖς ἡδοναῖς καὶ τῷ παρ' ἐκείνων ῥύπῳ συμφύρεται καὶ πέρας οὐδὲν αὐτῇ τῆς κακοδαιμονίας γίνεται ταύτης διὰ μὲν τὰς ἡδονὰς ἀμαθαίνουσα, ὑπὸ δὲ τῆς ἀμαθίας τῷ τῶν ἡδονῶν βαράθρῳ κρημνιζομένῃ. καὶ εἰκότως· ἐρᾷ

---

3 sq. Epigramma notissimum a Cydonii manu ipsa scriptum exstat in cod. Vatic. 123     19 cfr. p. 41, 16 sq.
25 Bas. serm. de leg. libr. gent. c. 7 (XXXI 584 B): ὡς ἐν

---

2 πλεῖστον codices, πλείστων e ex corr. s     6 μὴ ζημίαν AQ μὴ ζϊμίαν O μὴ δεμίαν M, itaque lacunam opinati βλάβην addiderunt swk     10 τὸ σῶμα ante λυσιτελεῖ ponunt A
13 τοσοῦτον QO τοσοῦτο A τοσούτου M τοσούτῳ marg. s, inde wk     19 omis. καὶ A     21 ἐμπιπλῶσι recte codices et w, ἐμπιπλᾶσι ex coniectura sk     24 ἀμαθαινούσῃ e ex coni. s
25 κρυμνιζομένῃ sw κρημνιζομένῃ k

μὲν γὰρ τοῦ ἀγαθοῦ πᾶς ἄνθρωπος ἐκείνου τε ἕνεκα πάντα καὶ λέγει καὶ διανοεῖται καὶ πράττει. οὐδεὶς γὰρ οὕτω γένοιτ' ἂν κακοδαίμων, ὥσθ' ἑαυτοῦ καὶ ὧν ἐπιτηδεύει τὸ κακὸν τέλος ποιεῖσθαι. ἂν μὲν οὖν ἐπιστήμῃ καὶ μελέτῃ τὴν τοῦ ἀγαθοῦ φύσιν λάβοι, ὥσπερ ἡγεμόνι χρώμενος τῷ παρ' ἐκείνου φωτὶ ὁρᾷ μὲν ἀκριβῶς, οἷ δεῖ σπεύδειν, ἄνευ δὲ πλάνης τὸν δρόμον συντείνων τυγχάνει τοῦ ποθουμένου ὠδῖνός τε λήγει καὶ θαρρεῖ περὶ ἑαυτοῦ ὡς οὐδὲν ἔτι οὐσίας καὶ ζωῆς στερησόμενος τῇ τῆς οὐσίας καὶ ζωῆς αἰτίᾳ συμφύς. ἂν δὲ διά τινα κάκην ἀγνοήσῃ τὸν ἑαυτοῦ πόθον, ὥσπερ γονέα οἱ πολὺν χρόνον τῶν οἰκείων διοικισθέντες καὶ βαρβάροις δουλεύσαντες, | τὸ μὲν τἀγαθὸν ποθεῖν οὐδ' οὕτως 79
αὐτὸν ἀπολείπει ἅτε συγγεγενημένον αὐτῷ. ζητῶν δ' ὧν λαβόμενος ἀναπαύσει τὸν ἔρωτα, ἀγνοίᾳ τοῦ ἀγαθοῦ ἐπὶ τὰ εἴδωλα τούτου καὶ τὰς ὁμοιότητας ἵεται, ἀληθείας τε καὶ ἐπιστήμης ἀποπεσὼν ἐπὶ τὰς δόξας φέρεται καὶ τὸ ψεῦδος, ἀκρατῶς τε τοῖς σώμασι καὶ τοῖς δι' αὐτῶν γινομένοις ἐπιπηδᾷ τῆς σκιᾶς ἀντὶ τοῦ ἀληθοῦς λαμβανόμενος. ὥστ' ἀντὶ τοῦ ἀγαθοῦ μὲν τιμᾷ τὸ ἡδὺ καὶ τούτῳ προσπλέκεται, ἀντὶ δὲ τῆς ἐκεῖθεν ἀληθείας χαίρει τῷ ψεύδει καὶ οὕτω δι' ἄγνοιαν ταῖς ἀκαθάρτοις ἡδοναῖς σπένδεται καὶ ταύταις ὁμολογεῖ διὰ βίου δουλεύσειν, αὐτὰς εἶναι τὸ ἀγαθὸν παντελῶς πεπεισμένος. καὶ τοῦτ' ἐστὶν ἡ ἐσχάτη κακοδαιμονία καὶ ὁ βόρβορος καὶ τὸ σκότος, ᾗ κείσεσθαι τοὺς ἀμυήτους

---

βορβόρῳ ταῖς ἡδοναῖς Bas. de virg. c. 40 (XXX 749 B): εἰς τοῦτο ἐμπέσῃ βάραθρον et εἰς βάθος κακῶν ἐμπεσεῖν. cf. 27, 16. ceterum plura de βόρβορος animi impuritatis symbolo invenies apud A. Jahn. in S. Meth. Plat. p. 115 n. 715 24 Phaed. 69 C: ἀμύητος ... ἐν βορβόρῳ κείσεται cfr. p. 34, 4

---

1 ἐκείνου δὲ k 5 λάβῃ A correct. puto, sed cfr. ind. p. 46 9 στερησόμενος A στερησώμενος QOM στερηθησώμενος in marg. s στερηθησόμενος wk 10 κακὴν M recte marg. add. κάκην s inde sumpsit w, κακίαν k 11 γονέας wk 13 δ' οὐ VQ 15 ἵεται P ἴεται ceteri codices et e 17 σώμασιν O 19 προσπλάκεται V 21 editiones omnes δὴ ἄγνοιαν vitiose 22 δουλεύσειν A idem coni. wk, δουλεύειν Bsw ‖ τάγαθὸν VQ 24 νορβόρβορος V

ἡ ἀληθὴς ἔχει φήμη. ὃ δεῖ πάντα ἄνδρα φυλαττόμενον τόν γε ὡς ἀληθῶς εὐδαιμόνως ζησόμενον, φίλον μὲν ἀεὶ πρὸς δύναμιν γίνεσθαι ἀληθείᾳ καὶ ἐπιστήμῃ, ἐχθρὸν δὲ ταῖς τοῦ σώματος ἡδοναῖς, ἵνα μήτε δι᾿ ἀμαθίαν ἄλλοθι πλανώμενος ζητῇ τἀγαθὸν καὶ οἰόμενος εὑρηκέναι πρὸ ἐκείνου τὸ ἡδὺ θεραπεύῃ μήτε διὰ τὸ ταῖς ἡδοναῖς ἐπικλύζεσθαι τὸ τῆς ψυχῆς ὄμμα καὶ δι᾿ ἀφροσύνην τυφλοῦ-
80 σθαι ἐν ἀγνοίᾳ τῶν ἀληθῶν ἡδονῶν διαγάγῃ τὸν βίον. | εἰ δ᾿ οὕτως ἑαυτὸν ῥυθμίσειε καὶ τῇ καλλίστῃ τῶν ἁρμονιῶν τὰ αὑτοῦ διὰ πάντων ἁρμόσειεν, ἀθάνατον τὴν ἑαυτοῦ ψυχὴν εὑρήσει καὶ εἴσεται καὶ τὸ λοιπὸν οὐ μόνον ἀδεῶς πρὸς τὸν θάνατον ἥξει, ἀλλὰ καὶ μέλλοντος ἀνιάσεται καὶ παρὰ θεοῦ τοῦτον εὔξεται, ἵν᾿ οὕτως ἡδίονος αὐτῷ γένοιτο βίου λαβέσθαι.

---

7 Phaed. 99 E: μὴ τὴν ψυχὴν τυφλωθείην βλέπων . . . τοῖς ὄμμασι. de animi oculo cfr. Jahn. S. Method. Plat. p. 42 n. 270

---

1 φημη optime A ἔμη OQ ἐμὴ M γνώμη cum s ceteri 5 πρὸς pro πρὸ QM corr. s et O 9—10 ἁρμηνιῶν M corr. s 10 αὐτοῦ P 11 εὑρήσῃ OM, in textu εὑρίσκει in marg. εὑρήσει s 12 ἥξει A et marg. O ἴξει Bsw ἔξει marg. sw, inde k 13 ἵνα O.

# Indiculus grammaticus.

α pro ε quod α acceptum fuit pro ε apud Graecos inferioris aetatis in syllabis, quibus ictus impositus non est, ante conson. liq. α invenitur in nonnullis codicibus: 9, 18 *παιδαραστῇ* Q 24, 26 *παραιτέρω* B V 16, 16 *παραιτέρω* A 41, 3 *συμπαραίνουσι* V 24, 20 *ἀνεχθῆναι* B 28, 8 *ἀνέχεσθαι* Q; contra ε pro α, cum titubarent librarii, his locis: 8, 11 *περεικάζειν* M 30, 6 *περιοῦσα* B 20, 20 *περιέναι* N 4, 23 *ἀστραγγέλους* N, cfr. Buresch Mus. Rhen. 46 (1891) p. 217 et Hatzidakis Einltg. p. 149

accus. c. inf. pro simpl. inf. 1, 6 *ὥσπερ κακοὶ δειλοὺς πολέμων ἀπέχεσθαι παραινοῦντες* 41, 17 *συγχωρεῖ ταύτην ἑαυτὴν κατιδεὶν* 41, 5 *μηδὲν εἶναι τῶν ἀνθρώπων ἑαυτοὺς οἰομένων*, cfr. A. Nuth de Marci Diaconi Vita Porphyrii diss. Bonn. 1897 p. 58

adiect. verb. annectitur genetivus: 20, 7—8 *τῶν ἐναντίων ποιητικὸν καὶ εὑρετικόν* 25, 3 *τῶν ἐναντίων γνωστικὸς καὶ ἀνυστικός*·

aoristi primi et secundi inter se ita confunduntur, ut alterius terminationes alteri stirpi adiciantur: 33, 9 *ἐνέγκαι ἂν* (optat.), idem in epistolis (Isocr. Demetr. Cyd. et Michael. Glycae aliquot epist. ed. Christ. Fr. Matthaei Mosquae 1776) III p. 35 *εἰσηνέγκαμεν* IV p. 36 *ἐξήνεγκαν* (3 pers. plur.), contra 31, 8 *μείνοι* cfr. Nuth l. c. p. 36 et Hatzid. Einltg. in Neugr. Gr. p. 176, 192[1]

articulus additur pronominibus *πολύς*: 5, 13 *πολὺ τὸ διάφορον* 17, 21 *πολλὴν τὴν ἁβρότητα* 21, 11 *πολὺς ὁ πόλεμος* 30, 6 *πολλῇ τῇ ἀχλύι* 41, 20 *πολλῷ τῷ γένει*, cfr. Ast ad Plat. Phaedr. p. 332 *ποῖος*: 18, 16 *ποίας τῆς ἀνάγκης*, *ὅσος*: 34, 8 *ὅσων τῶν ἀηδῶν*

augmentum in singulis codicibus deest hic: 1, 12 *καταπτηχέναι* N 26, 15 *ἀπαλλάχθαι* N 29, 4 *ἐπιθύμησεν* O 20, 12 *παρασκεύασται* V *παρασκευάσθαι* QOM 15, 16 *παρασκευάσται* MNO

*ἀρκεῖν* c. partic. 35, 12 *τίς ἀρκέσειε διηγούμενος*

*ἀπεχθάνομαί τινι* odio persequor aliquem p. 20, 2 *τῷ δὲ δουλεύειν ἀπηχθημένης*, cfr. de Boor in ed. Theophylacti indice p. 362

*ἀφανίζειν* delere 4, 25. 34, 6 deformare 27, 18

contracta verba ex verbis in -*μι* exeuntibus ficta: 10, 22 *καθιστῶντι* 42, 21 *ἐμπιπλῶσι* 27, 16 *ἀναπιμπλῷτο*, coniunctivus *πεινᾷ* 18, 28 cfr. Lobeck. ad Phrynich. p. 61

comparativus et superlativus coniuncti 15, 15 *βέλτιον καὶ ἀκριβέστατον* 2, 8 *ἀηδέστερον καὶ φοβερώτατον* (si recte correctum est). comparativo iungitur *μᾶλλον*: 42, 14 *τοσοῦτον μᾶλλον καλλίω*

*δείκνυμι* c. part. 33, 6: *δείξωμεν οὖσαν*, c. inf. 34, 2 *εἶναι ἀποδεικνύωσιν*

*εὔχομαι ἵνα*: 44, 13 *εὔξεται, ἵνα γένοιτο*

futura inferioris Graecitatis usitata 44, 2 *ζησόμενον* 8, 9 *φάγεται*. fut. pass. pro med. 40, 6: *πειραθήσῃ*

*ἵνα* pro *ὥστε* 37, 11 *οὐδ' ἔστιν, οὗ δεῖται, ἵν' ἡ χρεία ἑλκύσειεν* cfr. Wyttenbach. ind. Plut.

*καταδέχομαι* moleste aliquid suscipere 10, 11 cfr. Krumbacher. Sitzungsber. der bayr. Acad. 1892 p. 286

*κεκληρωμένος* habens: 2, 17 *ὡς μόνῳ τὴν ἀθανασίαν . . κεκληρωμένῳ*

*λέγεται Σοφοκλέα* 13, 1 et 42, 4: *Σαρδανάπαλον λέγεται*

*μέλλων* c. inf. praes. 14, 15 *μέλλοντας κινδυνεύειν* 41, 10 *χωρίζεσθαι μέλλοντες*, c. inf. futuri 6, 6 *μέλλων βαδιεῖσθαι* 18, 12 *μέλλουσι βιώσεσθαι*

modi contra normam adhibentur hi:

indicativus pro coni. 30, 13: *ὅταν ἀναγκάζουσιν* BV 4, 24 *ὅταν ἀφαιροῦνται* B cfr. Hatzidakis l. c. 216

coni. pro optativo: 16, 20 *ὥστ' ἂν ἴδῃς*

optativus pro coni.: 35, 22 *ἐφ' ὅ,τι ἂν τύχοι, φέρεται* 43, 5 *ἂν λάβοι, ὁρᾷ* 44, 13 *εὔξεται, ἵνα γένοιτο*. 15, 9 *εἶναι, ἐφ' ὅτι ἂν τύχοι* incerta tamen haec exempla sunt, cum *η* et *οι* persaepe confundantur. certius iudicandum de his: 37, 11—12 *οὐδ' ἔστιν . . . ἵνα . . ἑλκύσειεν* 42, 3 *πίοι* etc. pro *ἂν* c. coni. 44, 9—11 *εἰ . . ῥυθμίσειε καὶ ἁρμόσειεν, εὑρήσει* (pro *ἐὰν* c. coni.). cfr. Hatzid. l. c. 264

*ἂν* omissum in enuntiato irreali et in priore positum 24, 8 *ὅπερ ἂν ἔτυχε, τούτοις συνέβαινεν* cfr. Hatzid. l. c. p. 219

negatio *μὴ* pro *οὐ* in enunt. caus. *ὅτι μηδὲ*: 16, 13 et 38, 6, *μή* et *οὐ* coni. 37, 11 *ὅτι μηδ' . . . οὐδ'* 29, 13 *δέος, μὴ . . οὐκέτι. μηδὲ—μηδὲ* pro *μήτε—μήτε*: 9, 7. 9; 35, 2. 5

participium pro infin. post verbum dicendi 28, 13 *ἐρεῖ δυναμένην*, participii subiectum omissum 6, 17 *ἡμετέρας . . οὐ χρωμένων* (sc. *ἡμῶν*) 14, 13 *τῷ σώματι καὶ οἰχομένου συνδιαλύεσθαι* 29, 14 *σώζεται φθειρομένου* 32, 3 *μέλλοντος δυσχεραίνειν* 38, 25 *προθεσμίαν καὶ προσιούσης αἰσθανόμενοι* 44, 12 *μέλλοντος ἀνιάσεται*

participii structura laxior 27, 12 *ἀνδρὶ βασιλεῖ . . ἀποτιθέμενον* 34, 14 *τῇ ψυχῇ ἀνάγκη ἄκουσαν παραδέχεσθαι ὡς ἂν κρατοῦσαν*

particula *δὲ* post negationem 3, 26 *ἄλλο οὐδέν, ὅτι δὲ* 17, 18. 21 *οὐ μόνον, ὁ δὲ λόγος* 24, 14. 16 *οὐ μὴν .. τὸν δὲ* 38, 22 *οὐ παρὰ ... παρὰ δὲ,* partic. *μὲν* cumulata: 31, 3 *αἱ μὲν γὰρ οὐσίαι μὲν*

pronomen *αὐτὸς* pro reflexivo: 1, 6; 3, 7 *πείθουσιν αὐτοῖς κοινωνεὶν* 18, 6 *τῶν αὐτοῦ πραγμάτων* 19, 23 *ἐν αὐτοῖς* 20, 18 *τῆς ἐν αὐτοῖς ἀλογίας* 23, 16 *πᾶν γὰρ αὐτὸ σώζειν ἐπείγεται* 30, 6 *ψυχὴ .. τὸν ὀφθαλμὸν αὐτῆς* 29, 21 *ψυχῆς ἔργον ἐστί ... αὐτὴν συναγούσης* 33, 2 *πρὸς τὴν αὐτοῦ φύσιν* 37, 11. 14 *θεὸς ... πάρεδρον αὐτῷ ποιήσεται* 44, 10 *τὰ αὐτοῦ, αὐτὸς* cum *ἴδιον* coniunctum 12, 8 *ἴδιον αὐτῶν*[1]), *αὐτὸς* obiectum suscipit 7, 22 *ἀναιροῦντα τὸν θάνατον πάντες αὐτὸν χαλεπώτατον οἴονται* 13, 9 *τὸν θάνατον φρίττοντας καὶ κακὸν ἔσχατον οἰομένους αὐτὸν* 14, 18 *ψυχὴν ἔχομεν μένειν δυναμένην οὐδεμίαν οἰχομένου τοῦ σώματος αὐτὴν ὑπομένουσαν βλάβην* 12, 27 *τούτους κόπτεσθαι εἴδωλον αὐτοὺς καρπουμένους.* pronomen *ποῖος* pro *τίς* 18, 16: *ὑπὸ ποίας τῆς ἀνάγκης.* pronomen *τις* aliis annectitur pronominibus 21, 12 *πᾶς τις* 23, 16 *αὐτῷ τινι*

*παντοδαπής* 9, 20, *παντοδαπός* 2. 34, 28

*παραμελεῖσθαι* c. acc. 6, 8

*συμβουλεύειν* consulere 10, 2

tempora varia coniuncta: 16, 7 *ἀσκεῖ .. τέθεικε ... κατεστήσατο* 8, 4 *νενευκότος .. ἐπιλαθομένου* 32, 13 *δουλεῦσαι .. συμπλέκεσθαι* 13, 14 *ἀντιλήψεσθαι καὶ διακεῖσθαι*

timendi verba 3, 27 *τί γὰρ κωλύει .. κακίζειν* 33, 12 *οὐδὲν τὸ κωλύον .. λέγεσθαι* 26, 10 *τίς μηχανὴ μὴ ὑποτίθεσθαι* 14, 24 *δεδιέναι, μὴ λάθῃ* 14, 15 *δεδιέναι .. κινδυνεύειν*

*ὑπομένω* superesse 14, 26 *θάνατον τὸ ἀθάνατον ὑπομείνῃ,* contra circumscribitur verbum finitum: 14, 23 *ὑπομένουσαν βλάβην* = *βλαβεῖσαν* 28, 1 *φθορὰν καὶ σκεδασμὸν ὑπομένει* = *φθείρεται καὶ σκεδάννυται* 28, 10 *ὑπομεῖναι φθοράν* = *φθαρείη*

*ὑπάρχειν* = *εἶναι* 24, 19

*υ* et *β* inter se confunduntur in V: 4, 8; 10, 10; 12, 2; 14, 19; 15, 8; 21, 18; 22, 7; 25, 16; 26, 9; 27, 6; 8, 18; 28, 8; 31, 2; 32, 12; 33, 9; 34, 4. 14; 35, 17; 43, 24 cfr. Hatzidakis l. c. 33

*χαίρει* c. part. *παραμένον* 13, 7

*χεθῆναι* aor. cfr. Veitch s. v.

1) cfr. Ed. Kurtz, „Zwei griech. Texte über die hl. Theophano" Petersb. 1898 p. 17, 29.

BIBLIOTEKA UNIWERSYTECKA W TORUNIU

Biblioteka Główna UMK
300020638707

Demetrius Cydonius